5 *γράφουσι* codd., corr. Bk. | *γράφονται παραπρεσβείας* om. **D** ‖ 7 *ἀριζήλους φήττιος* **mVL** | *σφήτιος* **D** | *πολιτείᾳ*] *πόλει* **m** ‖ 9 *ψηφίσματα* **L** ‖ 10 *προτεθείσης* Rei. ‖ 12 add. Wolf | *ἐνίοτε* **L** ‖ 13 *ὑπήγξατο* **L** ‖ 14 *περὶ τῆς* om. **L** | *τῆς* om. **m**^{ac} | *παραπρεσβείας*] *παρὰ πρεσβείας* **m**^{pc}**L**^{ac} *παρὰ τῆς πρεσβείας* **m**^{ac}**D** *περὶ πρεσβείας* **L**^{pc} *πρεσβείας* **x** ‖ 16 *τὸ λοιπὸν* om. **D** ‖ 17 *διαστήσας* **L** *συστήσας* **D** | *μέτριον* om. **D** ‖ 19 ⟨*καὶ*⟩ *κατὰ* **D** ‖ 20 *ἑταιρήσεως*] *ἐπιρρήσεως* **V** *ἑταιρήσεων* **D** | *εἰ*] *οἱ* **V** | *ἀκριβεῖς* **aVxLS** ‖ 21 *τῆς* om. **xL** ‖ 23 *μὴ* om. **VS** ‖ 23.24 *ἡταιρηκὼς τίμαρχος δημηγορεῖ* **x** ‖ 24 ⟨*τίμαρχος*⟩ *τῇ* **m** | ⟨*τίμαρχος*⟩ *ἑταιρήσας* **VxLSD** | *ἐν ᾧ* del. Wolf ‖ 26 add. Bai. | ⟨*καὶ*⟩ *κυβεύων καὶ διατρίβων* **m** ‖ 27 *πιγαλάκου* **V** ‖ 28 *πιτταλλάκου* **L** ‖ 29 *χρόνων* **L**

ΕΤΕΡΑ ΥΠΟΘΕΣΙΣ ΕΙΣ ΤΟΝ ΚΑΤΑ ΤΙΜΑΡΧΟΥ ΛΟΓΟΝ

1 Arg. 2

1 *Τοῦτον τὸν λόγον ὁ Αἰσχίνης γέγραφε δοκιμασίαν κατὰ Τιμάρχου.* 30
ἦν δὲ ὁ Τίμαρχος τῶν ἐπὶ τὸ βῆμα προσιόντων, καὶ αὐτὸν τὸν Αἰσχί-
2 *νην σεσυκοφαντηκώς. νόμοι δέ εἰσι περὶ τῶν ῥητόρων κείμενοι, οὕσ-*
τινας χρὴ εἴργεσθαι ⟨τοῦ⟩ λέγειν, οἷον τοὺς τὰ πατρῷα κατεδηδοκό-
τας, τοὺς ἡταιρηκότας· εἰ δὲ μὴ πείθοιντο, ἐξεῖναι τὸν βουλόμενον
αὐτοῖς δοκιμασίαν ἐπαγγεῖλαι, ὥστε δοκιμάζεσθαι, εἰ ἐπιτήδειοί εἰσι 35
3 *λέγειν. δύο δὲ ἐγκαλῶν Τιμάρχῳ Αἰσχίνης, καὶ ὅτι ἡταίρηκε καὶ ὅτι*
τὰ πατρῷα κατεδήδοκε· περὶ ἑταιρήσεως ἐπιγράφεται ὁ λόγος, ὅτι τὸ
πλέον τῆς κατηγορίας διὰ ταύτην ἐστί. φαίνεται δὲ νενικηκὼς τὸν
ἀγῶνα, ὥς φασιν οἱ παλαιοί. δοκοῦσι δέ μοι οἱ λόγοι μετὰ τὰς δίκας
γεγράφθαι. amVxLSD 40

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΤΗΣ ΠΑΡΑΠΡΕΣΒΕΙΑΣ

2 Arg.

1 *Ἀθηναῖοι Φιλίππῳ πολεμήσαντες ὕστερον ἐπείσθησαν ὑπὸ Ἀρι-*
στοδήμου καὶ Νεοπτολέμου καὶ Κτησιφῶντος εἰρήνην πρὸς αὐτὸν
ποιήσασθαι καὶ ἔπεμψαν δύο πρεσβείας, τὴν μὲν προτέραν περὶ τῆς
εἰρήνης, τὴν δευτέραν δὲ ἀποληψομένην τοὺς ὅρκους, ἐν αἷς ἀμφοτέ-
2 *ραις ἦσαν πρεσβευταὶ Δημοσθένης καὶ Αἰσχίνης. ὡς οὖν ἐπανῆκον ἐκ* 45
τῆς ὑστέρας πρεσβείας τῆς ἐπὶ τοὺς ὅρκους, ἐγράψαντο παραπρε-
3 *σβείας Αἰσχίνην Δημοσθένης τε καὶ Τίμαρχος. τὸν μὲν οὖν Τίμαρχον*
πρὸ τοῦ τῆς παραπρεσβείας ἀγῶνος γραψάμενος Αἰσχίνης ἑταιρήσεως

tit. evanidus in **x** ‖ 31 *τῶν* om. **L** ‖ 32 *σεσυκοφαντικώς* **V** *συκοφαντηκώς* **LD** ‖ 33 *εἰργᾶσθαι* **VL** *εἰργάσθαι* **xS** | add. Rei. | *οἷον*] *οἳ* **VxS** *οἱ* **L** | *καταδεδηκότας* **L** ‖ 35 *ἀπαγγεῖλαι* **mL** ‖ 36 *ἐγγαλῶν* **V** ‖ 37 *τὰ πατρῷα* om. **D** | *κατεδήδωκε* (-*δίδ*- **V**) **VS** | ⟨*τῆς*⟩ *ἑταιρήσεως* **D** | *ὁ* om. **V** ‖ 38 *τῆς* om. **xL** ‖ 39 *φησιν* **V** ‖ 40 *γράφεσθαι* codd., corr. B., cf. arg. ad or. 2,4

tit. evanidus in **x** | *τοῦ* om. **a**ac | *πρεσβείας* ⟨*λόγου*⟩ **D** ‖ 44 *δὲ δευτέραν* **L** ‖ 46 *ὑστερέας* **L**ac *δευτέρας* **L**pc | *ἔγρα* (fen.) **V** *ἐγράψατο* **S** ‖ 48 *παραπρεσβείας*] *παρασκευῆς* **m**

ἠτίμωσε, πρὸς δὲ Δημοσθένην ἀπολογεῖται. ἔνιοι μὲν οὖν φασι γεγρά- 4
50 φθαι μὲν τοὺς λόγους ἀμφοτέρους, οὐ μέντοι γε εἰρῆσθαι· οἱ δὲ καὶ
εἰρῆσθαί φασι καὶ κεκινδυνευκέναι τὸν Αἰσχίνην τριάκοντα ψήφοις
ἁλῶναι, ὅμως μέντοι ἀποφυγεῖν Εὐβούλου αὐτῷ τοῦ δημαγωγοῦ συν-
αγωνισαμένου, οὐ μέντοι παρὰ πᾶσιν ἀπογνωσθῆναι αὐτοῦ τὸ φιλιππί-
ζειν, ὡς αὐτὸς ἐν τῷ προοιμίῳ παραδηλοῖ καὶ Δημοσθένης ἐν τῷ περὶ
55 τοῦ στεφάνου. ἐν μὲν οὖν τῷ πρώτῳ προοιμίῳ κατ' ἀρχὴν εἰς εὔνοιαν 5
παρακαλεῖ τοὺς δικαστάς, τὸν ἀντίδικον καὶ τὴν κατηγορίαν διαβάλ-
λων καὶ τοῦ κινδύνου τὸ μέγεθος ⟨δεικνύων⟩, καὶ ὡς ψευδῶς συκο-
φαντεῖται· ἐν δὲ τῷ δευτέρῳ νοήματι πρᾶγμα εἰρημένον ἐν τῇ κατη- 6
γορίᾳ διαβάλλει, καὶ πιστοῦται ἀξιοπίστως, ὡς καὶ αὐτῶν εἰδότων, ὅτι
60 ψεῦδός ἐστι. καὶ τοῦτο δὲ εἰς διαβολὴν τοῦ ἀντιδίκου καὶ τὰ ἑξῆς
ὁμοίως εἰς εὔνοιαν ἑαυτοῦ καὶ διαβολὴν τοῦ ἀντιδίκου. amVxLSD

ΥΠΟΘΕΣΙΣ ΤΟΥ ΚΑΤΑ ΚΤΗΣΙΦΩΝΤΟΣ

3 Arg.

Κτησιφῶν ἔγραψε ψήφισμα στεφανῶσαι Δημοσθένην Δημοσθένους 1
Παιανιέα χρυσῷ στεφάνῳ καὶ ἀναγορεῦσαι τὸν στέφανον ἐν τῷ θεά-
τρῳ Διονυσίοις τραγῳδῶν, ὅτι διατελεῖ τὰ ἄριστα καὶ λέγων καὶ πράτ-
65 των τῷ δήμῳ τῷ Ἀθηναίων. τοῦτο τὸ ψήφισμα ἐγράψατο Αἰσχίνης πα- 2
ρανόμων καὶ εἰσάγει κεφάλαια γενικὰ τρία, ἓν μέν, ὅτι ὑπεύθυνον
ὄντα τὸν Δημοσθένην ἐστεφάνωσε, τοῦ νόμου κελεύοντος μὴ ἐξεῖναι
ὑπεύθυνον ἄρχοντα στεφανοῦν (περὶ οὐσίας), δεύτερον δέ, ὅτι ἐν τῷ 3
θεάτρῳ ἀνεκήρυξε τὸν στέφανον, ἀπαγορεύοντος τοῦ νόμου μηδένα
70 στεφανοῦν ἐν τῷ θεάτρῳ (περὶ ποιότητος), τρίτον καὶ τελευταῖον, ὅτι 4

51 τριάκοντα ψήφοις] Plu. vit. X 840 b; Plu. D. 15,5 || 55 πρώτῳ προοιμίῳ] cf. schol. D. 18,1,1 abde

49 γεγραφέναι codd., corr. Bl. γραφῆναι Taylor, cf. or. 1 arg. 2 et Ps. Plu. Vit. X 840c || 51 κινδυνευκέναι **L** || 52 αὐτοῦ **L** || 53 τὸ] τοῦ **V** || 54 περὶ] παρὰ **L** || 55 τοῦ om. **VLD** | πρώτῳ om. **a**^{ac} || 57 καὶ^1] διὰ Sau. | add. Bast | φεῦδος συκοφαντοῦντα codd., corr. Wolf || 59 καὶ^2 om. **V**

tit. om. **x** || 63 ⟨τὸν⟩ Δημοσθένην **a** ⟨τε⟩ Sau. || 65 τῷ^2 Bl. τῶν codd. || 67 τὸν om. **L** τῷ **m**^{ac} | δημοσθένη **m**^{ac} || 68 περὶ οὐσίας del. cum codice **p** Bl. || 70 περὶ ποιότητος del. cum codice **p** Bl.

καὶ τὰ ψευδῆ ἔγραψεν ἐν τῷ ψηφίσματι· οὐκ εἶναι γὰρ καλὸν καὶ ἀγαθὸν τὸν Δημοσθένην οὐδὲ ἄξιον τοῦ στεφάνου. καὶ τοῦτο εἰς τὸ παράνομον ἀνακτέον, ἐπειδὴ καὶ νόμος ἔστιν ὁ κωλύων τὰ ψευδῆ γρά-
5 *φειν ἐν τοῖς ψηφίσμασιν (ἔστι δὲ περὶ ποιότητος). ὑποφορὰς δὲ λαμβάνει τρεῖς, πρὸς μὲν τὸ πρῶτον διssῶς ἐροῦντος Δημοσθένους, ὅτι* 75 *οὐκ ἦν ἄρχων οὐδὲ ἔστιν ἀρχὴ ἡ τῶν τειχῶν οἰκοδομή, ἀλλὰ διακονία τις καὶ ἐπιμέλεια· εἰ δὲ καὶ ἀρχή, τῷ γε ἐπιδεδωκέναι ἐκ τῶν ἰδίων καὶ μηδὲν εἰληφέναι ἐκ τῆς πόλεως οὐκ ἦν ὑπεύθυνος (περὶ ποιότητος*
6 *ἀμφότερα). πρὸς δὲ τοῦτο ὁ Αἰσχίνης εἰσάγει στοχαστικὸν κεφάλαιον, οὐ μέντοι κατασκευάζει· εἰ δὲ καὶ παρ' ἑαυτοῦ ἐπέδωκεν, ἀλλ' εἶχε* 80
7 *παρὰ τῆς βουλῆς εἰς τοῦτο δέκα τάλαντα (περὶ οὐσίας). πρὸς δὲ τὸ δεύτερον κεφάλαιον παρεχομένου Δημοσθένους νόμον ἕτερον, κελεύοντα ἀνακηρύττειν ἐν τῷ θεάτρῳ, ἂν ψηφίσηται ὁ δῆμος, Αἰσχίνης οὐ περὶ τῶν πολιτικῶν αὐτὸν εἶναί φησιν, ἀλλὰ περὶ τῶν ξενικῶν στε-*
8 *φάνων (περὶ οὐσίας). πρὸς δὲ τὸ τρίτον πολλὰ κατὰ μέρος. οἴεται δὲ* 85 *τὸν Δημοσθένην εἰς τέσσαρας καιροὺς διῃρηκέναι τὴν ἀπολογίαν, τὰ*
9 *πράγματα καθ' ἕκαστα εἰς τούτους μερίσαντα. πρῶτον μὲν οὖν φησιν εἶναι καιρὸν ⟨τὸν⟩ τοῦ πολέμου τοῦ πρώτου τοῦ πρὸς Φίλιππον περὶ Ἀμφιπόλεως γενομένου, δεύτερον δὲ τὸν τῆς εἰρήνης, τρίτον δὲ τὸν τοῦ πολέμου τοῦ δευτέρου καὶ τῆς περὶ Χαιρώνειαν ἥττης, τέταρτον* 90 *δὲ τὸν παρόντα καιρὸν τὸν [περὶ] τῶν πρὸς Ἀλέξανδρον πολιτευμάτων.*
10 *ἐν μὲν οὖν τῷ πρώτῳ αἴτιον αὐτόν φησι γεγονέναι τῆς εἰρήνης, αἰσχρᾶς οὔσης καὶ ἀδόξου, καὶ τοῦ μὴ μετὰ κοινοῦ τῶν Ἑλλήνων συνε-*
11 *δρίου τὴν πόλιν αὐτὴν πεποιῆσθαι· ἐν δὲ τῷ δευτέρῳ, ὅτι τὸν*
12 *πόλεμον τὸν πρὸς Φίλιππον αὐτὸς παρεσκεύασεν· ἐν δὲ τῷ τρίτῳ, ὅτι* 95 *τοῦ ἱεροῦ πολέμου καὶ τῶν περὶ Φωκέας συμβάντων αἴτιος ἐγένετο καὶ τῆς ἥττης τῆς ἐν Χαιρωνείᾳ, πείσας μετὰ Θηβαίων ἀραμένους τὸν*
13 *πόλεμον πρὸς Φίλιππον παρατάξασθαι· ἐν δὲ τῷ τελευταίῳ, ὅτι ⟨τὰ⟩*

85 *οἴεται*] schol. Aeschin. 3,51,109 ‖ 87 Aeschin. 3,54 sq.

72 *τοῦτο ⟨δὲ⟩* Bl. ‖ 73 *καὶ* Rei. *ὁ* codd. ‖ 74 *ἔστι – ποιότητος* del. cum codice **p** Bl. qui om. etiam *ἐν τοῖς ψηφίσμασιν* | *δὲ*² om. **V** | *⟨προ⟩λαμβάνει* Navarre ‖ 75 *τῷ πρώτῳ* **L** | *διssὸς* **L** ‖ 78–79 *περὶ – ἀμφότερα* del. cum codice **p** Bl ‖ 79 *ὁ* om. **m** ‖ 80 *καὶ* Fr. *μὴ* codd. ‖ 81 *παρὰ*] *περὶ* **am**^ac^**VxLS** | post *τάλαντα* signum interrog. posuit Bl. | *περὶ οὐσίας* del. cum codice **p** Bl. ‖ 82 *κεφάλαιον ⟨τὸ⟩ δεύτερον* **m** ‖ 82 *νόμον ἕτερον* bis **V** ‖ 84 *οὐ περὶ*] *οὔτε* **V** | *αὐτῶν* **V** ‖ 85 *περὶ οὐσίας* del. cum codice **p** Bl. | *τὸ* om. **L** ‖ 86 *διηρωκέναι* **V** ‖ 88 *καιρὸν εἶναι* **L** | add. Fr. | *τοῦ*³ om. **x** ‖ 91 *τὸν*²] *τῶν* **V** | del. Bl. | *τῶν* om. **V** ‖ 92 *αὐτόν* om. **m** ‖ 94 *αὐτὸν* **xL** ‖ 96 *φωκαίας* **a** ‖ 97 *Θηβαίων* Wolf *ἀθηναίων* codd. ‖ 98 add. Bl. *⟨τὸν⟩* **m**^ac^

κατὰ τὸν Ἀλέξανδρον οὐκ ἐπολιτεύσατο. μετὰ ταῦτα καὶ τοῦ βίου 14
100 *παντὸς τοῦ Δημοσθένους κατηγορεῖ, καὶ δὴ καὶ Κτησιφῶντος ἐν ὀλί-*
γοις, ἐν οἷς ἀξιοῖ αὐτὸν ὑπὲρ ἑαυτοῦ τὸν Κτησιφῶντα ἀπολογεῖσθαι.
τὰ μὲν οὖν κεφάλαια ταῦτ' ἐστίν. ἐνίκα δὲ τὸν ἀγῶνα Δημοσθένης. 15
Μέμφονται μέντοι τινὲς τὸν Αἰσχίνην, ὅτι οὐκ ἐνδιέτριψεν ἐν τῷ 16
παρανόμῳ, ἀλλὰ καὶ τῆς πολιτείας κατηγορεῖ τοῦ Δημοσθένους, καλῶς
105 *πεπολιτευμένου τοῦ ἀνδρός. αὐτὸς δὲ τοὐναντίον τούτῳ μάλιστα ἰσχυ-* 17
ρίζεται, λέγων οὕτως (3, 49)· *'ἔστι δ' ὑπόλοιπον μέρος τῆς κατηγορίας,*
ἐφ' ᾧ μάλιστα σπουδάζω· τοῦτο δ' ἐστὶν ἡ πρόφασις, δι' ἣν αὐτὸν
ἀξιοῖ στεφανοῦσθαι.' μήποτε δὲ ἄριστα τοῦτο ἔπραξεν· ἐπειδὴ γὰρ 18
εἶχε δόξαν μεγάλην παρὰ πᾶσι καὶ ὑπόληψιν ὁ Δημοσθένης ὡς λαμ-
110 *πρότατα πεπολιτευμένος, εἰκότως ᾠήθη ψυχροὺς καὶ οὐδενὸς ἀξίους*
φανήσεσθαι τοὺς περὶ τῶν παρανόμων λόγους, εἰ μὴ δόξαν αὐτοῖς
ἐμποιήσει τὴν ἐναντίαν, ὡς ἄρα ὁ Δημοσθένης κακόνους ἐστὶ τῷ δήμῳ
καὶ αἰσχρῶς καὶ ἐπιμέμπτως πεπολίτευται. διὰ τοῦτο ἐσπούδασε περὶ
τοῦτο μάλιστα καὶ ἐν τούτῳ τῷ μέρει τῆς κατηγορίας τὸ πλεῖστον ἐν-
115 *διέτριψε. μέμψαιτο δ' ἄν τις τὸ προοίμιον ὡς τραγικὸν καὶ περιττὸν* 19
καὶ ἐπιλόγῳ μᾶλλον ἐοικός. amVxLS

103 Syrian. 2,51 Rabe ‖ **115** *μέμψαιτο*] cf. schol. Aeschin. 1,69,151. 3,1,3

99 ⟨*τὰ*⟩ *τὸν* **x** ⟨*αὐ*⟩*τὸν* Sau. *τὸν* om. **m**[ac] | *τοῦ Ἀλεξάνδρου* Navarre | ⟨*πρὸς*⟩ *ἀλέξανδρον* **amVS** ‖ **100** *καὶ*[2] om. **L** ‖ **101** *ἑαυτοῦ*] *αὐτοῦ* **amVxL** ‖ **102** *εἰσίν* **L** ‖ **103** *μέντοι*] *μέν* **xL** | *τὸν*] *τῶν* **V** ‖ **105** *πολιτευμένου* **V** | *τοῦτο* **m** ‖ **106** ⟨*οὐ*⟩*δ'* **V** | *ὑπόλοιπόν* ⟨*μοι*⟩ Aeschin. 3,88 ‖ **109** *παρὰ πᾶσι* om. **x** | *καὶ* om. **L** ‖ **111** *φαίνεσθαι* **L** | *παρὰ* **S** ‖ **113** *ἐπιπέμπτως* **V** | *ἐσπούσασε* **L** ‖ **114** *ἐκ τούτου* **VS** ‖ **115** *τὸ* om. **V** ‖ **116** *ἐπιλόγων* **V** | *ἐοικώς* **V**

I *ΚΑΤΑ ΤΙΜΑΡΧΟΥ*

in or. 1, 1 **1** *οὔτε γραφὴν γραψάμενος οὔτ' ἐν εὐθύναις λυπήσας] γραφὴ καὶ δίκη καὶ εὔθυνα διαφέρουσιν ἀλλήλων. δίκη μὲν γὰρ ἰδιωτικὸν πρᾶγμά ἐστι, γραφὴ δὲ δημόσιον. καὶ τῇ μὲν ἐν τοῖς νόμοις ὥρισται ἡ καταδίκη, τῇ δὲ γραφῇ τιμᾶται τὸ δικαστήριον ὁπόσον τι βούλοιτο. δηλοῖ* 5 *δὲ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου* (45–47) *τὴν διαφοράν. ἤδη μέντοι συγχέουσιν ὥστε ἐπιμίσγειν. εὔθυναι δέ, ὅταν πρεσβευτὴν ἢ ἄρχοντά τις κρίνῃ. εὔθυναι δ' εἰσὶ καὶ αἱ κατὰ τῶν ἀρξάντων ἢ δημόσιόν τι διοικησάντων ἀποτιθέμεναι γραφαί. ἦσαν δ' ἐπὶ τούτων ᾑρημένοι λογισταὶ δέκα τὸν ἀριθμόν. ἐνίοτε μέντοι καὶ εἰσαγγελίας κατὰ* 10 *τῶν εὐθυνομένων ὑπετίθεντο. ἐκ τούτου δὲ δῆλον, ὅτι πρῶτον ἔγραψε τὸν κατὰ Τιμάρχου λόγον. διαφέρει γραφὴ εὐθύνης, καθὸ ἡ μὲν γραφὴ περὶ μόνων ἐστὶν ἐγγράφων, ὅταν τις κατηγορῆται ὡς παράνομον γράψας νόμον ἢ ψήφισμα ἤ τι τοιοῦτον· ἡ δὲ εὔθυνα ἀπολογία ἐστὶν ὑπὲρ ὧν κατεπιστεύθη παρὰ τῆς πόλεως, οἷον πρεσβείαν,* 15 *στρατηγίαν καὶ τὰ τοιαῦτα.* amgVxLS

2 *ὃν δὲ τρόπον] ὃν τρόπον οὗτος καταισχύνει τὴν πόλιν, οὐχ ὃν τρόπον συκοφαντεῖ αὐτόν· πάρεστι γὰρ κατηγορήσων, οὐκ ἀπολογησόμενος.* amgVxLS

3 *δίκη*] Ammon. 34; Ps. Hdn. Philet. 181; Ba. 199,3; S. *δ* 1089; Ph. *δ* 598; Et. Gud. 365,11; Sabb. 51,1; Z. 519; schol. Pl. Euthypr. 2 a ‖ 4 *γραφὴ*] Bk. 226,27. 185,11; Harp. s.v.; S. *γ* 440; Ph. *γ* 206; Ps. Hdn. Philet. 181; schol. Pl. Euthypr. 2 a ‖ 7 *εὔθυναι*] Harp. s.v. *εὔθυνοι*; S. *ε* 3514; cf. Ph. s.v. *εὐθύνα*; Et. Gen.; E. M. 391,53; Moer. 135; schol. Aeschin. 3,9,27 a. 15,48

2 l. om. **mgxLS** ‖ 3 *εὐθύνη* **m**[pc]**VxL** *εὐθύνα* **m**[ac]**S** *εὐθύναι* **g** sine term. **a** accentum corr. Bk. ‖ 4 *τῇ*] *ἡ* **m** *ᾗ* Bai. | *ἐν τοῖς* Sau. *ὀλίγοις* codd. *ὅλῃ τοῖς* Bai. *ὅλοις τοῖς* Sch. ‖ 6 *δὲ* ⟨*καὶ*⟩ **gxL** | *ἤδη*] *ἡδὺ* **g** ‖ 7 *ἐπισμίγειν* **mL** | *εὐθύνα* **m**[ac]**VS** *εὐθύνη* **m**[pc]**gxL** sine term. **a** corr. Sau. | *δέ* – 8 *εὔθυναι* del. B.S. ‖ 8 ⟨*τινά*⟩ *τις* **mg** | *εὐθύναι* codd., corr. Sau. | *καὶ* del. Sau. ‖ 9 *ἦσαν* – 12 *λόγον* om. **S** ‖ 9 *εἰρημένοι* **mg** ‖ 9.10 *ῥρημένου γισταὶ* **V** ‖ 10 *τὸν* om. a | *ἐνίοτε μέντοι*] *ὅτε μὲν* **V** | *εἰσαγγελίαν* Bk. ‖ 11 *ἀπετίθεντο* **amgVx** | *δὲ* om. **V** | *πρῶτον* om. **V** | *ἔγραψα* **L** *ἔγρα* **x** ‖ 12 ⟨*ἄλλως.*⟩ *διαφέρει* Fr. | *καθὸ ἡ*] *καθ' ἓν* **xL** ‖ 13 *ἐγγράφω* **V** | *ὅταν* – *παράνομον* om. in fen. **V** | *ὡς*] *ἢ* **mg** ‖ 14 *εὐθύνη* **am**[pc]**gV** *εὐθῦνα* **m**[ac]**S** *εὐθύνα* **xL** accentum corr. Bk. ‖ 17 l. om. **mg** ‖ 18 *πάρεστι*] *παρὰ τὴν γραφὴν* **V**

20 **3** *τῇ τε πόλει*] *δείνωσιν ἔχει πολλὴν καὶ αὔξησιν κατηγορίας ὁ ἐπιμερισμὸς τῶν πραγμάτων.* amgVxLS — in or. 1, 2
4 ⟨*εἰδὼς*⟩] *τοῦτό τινες δεύτερον προοίμιον.* aVS
5 *οἷς ὀλίγῳ πρότερον*] *ἀνάγκη προανεγνῶσθαι 'ἐφ' οἷς πάρεστι κατηγορῆσαι' λόγου χάριν.* amgVxL
25 **6** *ἐπήγγειλα*] *προσεκαλεσάμην εἰς τὸ δοκιμασθῆναι, ἐδήλωσα, ὅτι ἐπὶ τοῦτο καλῶ. Αἰσχίνης δὲ ἐπήγγειλε δοκιμασίαν Τιμάρχῳ, ὅτι παρὰ τοὺς νόμους ἑταιρήσας δημηγορεῖ. δοκιμασία δέ ἐστι κυρίως ἐξέτασις περὶ ἀρχῆς.* amgVxLS
7 ⟨*αἱ γὰρ ἴδιαι ἔχθραι*⟩] *γνῶσις.* S
30 **8** ⟨*τοῦ μὲν οὖν*⟩] *ἕτερον προοίμιον.* aVS — in or. 1, 3
9 ⟨*οἱ μὲν γὰρ νόμοι*⟩] *κατασκευή.* VS
10 *μὴ δημηγορεῖν*] *μὴ λέγειν ἐν βουλῇ μηδ' ἐν δικαστηρίῳ μηδ' ἐκκλησίᾳ.* amgVxLS
11 *οὐ χαλεπὸν*] *παραλογίζεται ἐνταῦθα λέγων τὸ σιωπᾶν ῥᾴδιον εἶναι*
35 *ῥήτορι ὄντι Τιμάρχῳ.* amgVxLS
12 *ἐμὲ δ' ἐξῆν*] *φασὶν ὅτι διήχθρευσεν Αἰσχίνῃ ὁ Τίμαρχος, ἐπεὶ ἐδόκει Αἰσχίνης τὰ Φιλίππου φρονεῖν. καὶ γὰρ εἶχεν ἀγρὸν ὁ Αἰσχίνης ἐν Πύδνῃ τῆς Μακεδονίας. οἱ δὲ διὰ τὴν γραφὴν τὴν τῆς παραπρεσβείας, ἣν ἀπέθετο μετὰ Δημοσθένους κατ' αὐτοῦ, ὃ καὶ μᾶλλον.* amgVxLS
40 **13** ⟨*περὶ μὲν οὖν*⟩] *συμπέρασμα.* a
14 ⟨*ἐλπίζω*⟩] *ἀντὶ τοῦ 'νομίζω'.* f
15 ⟨*οὐκ ἀγνοῶ*⟩] *παρασκευή.* af — in or. 1, 4
16a *τυραννὶς*] *οὐκ ὀρθῶς ὁ Αἰσχίνης τὴν τυραννίδα πολιτείαν ἐκάλεσεν. ἡ μὲν γὰρ πολιτεία ἐκ νόμων συνέστηκεν, ἐν δὲ τυραννίδι οὐκ*
45 *εἰσὶ νόμοι, ἀλλὰ παρανομίαι. καὶ ἐκ τούτων δὲ δῆλον ὡς οὐδὲ ἤκουσε*

27 *δοκιμασία*] Bk. 235,11; Poll. 1,176; Hes. *δ* 2125; cf. Ph. *δ* 703; E. M. 281,55; Sabb. 52,14 ‖ 37 *ἀγρὸν*] D. 18,41. 19,145; cf. Aeschin. vita 1,4 ‖ 41 Poll. 5,126; schol. Aeschin. 3,9,22 ‖ 45 Caecil. fr. 126 b; Aeschin. vita 2,6

20 l. om. **gx** *πόλει* ⟨– *ἐμαυτῷ*⟩ Fr. ‖ 22 l. add. Sch. | *τινες*] *ἐστι* Sch. ‖ 23 l. om. **gx** *οἷς* – *ἀναγινώσκοντος* Fr. | *παραναγνῶσθαι* **V** ‖ 25 l. om. **gx** ‖ 26 *τούτῳ* **V** ‖ 29 l. addidi ‖ 30 l. add. Rei. | *ἕτερον* Sch. (cf. 1,2,4) *δεύτερον* **aVS** ‖ 31 l. addidi ‖ 32 l. om. **gx** | *ἐν*[1] om. **S** | *μηδ'*[1] Schei. *μὴ* **amgVxS** *μὴ δὲ* **L** *ἢ* Schei. | *μηδ' ἐκκλησία* Bai. *μὴ δοκιμασία* **amgVLS** *μὴ* ⟨*ἐν*⟩ *δοκιμασίᾳ* **x** *μὴ δοκιμασθέντα* Schei. ‖ 34 l. om. **gxS** *χαλεπὸν* ⟨– *ῥᾴδιον*⟩ Fr. | *εἶναι*] *ἐστι* **mVS** *ἐπὶ* Di. ‖ 36 l. om. **gx** *μὴ συκοφαντεῖν* Fr. ‖ 37 ⟨*ὁ*⟩ *αἰσχίνης* **mg** | *ὁ* om. **VS** ‖ 35 *οἱ* – 39 *μᾶλλον* om. **x** ‖ 38 *διὰ* om. **L** | *τὴν*[2] om. **VS** ‖ 40 l. addidi ‖ 41 l. add. Di. ‖ 42 l. addidi ‖ 43 l. om. **xS** ‖ 44 ⟨*τῇ*⟩ *τυραννίδι* **xL** | *οὐκ* ⟨*ἔστι·*⟩ **L** ‖ 45 *ἔστι* **LS** | *νόμοι* om. **x** *νόμος* **S** | *οὐδὲ ἦσαν* **am**[ac]**g** *οὐ διήκουσε* **m**[pc]

Πλάτωνος. οὗτος μὲν γάρ φησι τρεῖς εἶναι πολιτείας, Πλάτων δὲ καὶ δύο καὶ πέντε [καὶ ἑπτά]. amg VxLS

16b *σημείωσαι παρὰ τοῖς παλαιοῖς τυραννίδα τὴν βασιλείαν καλουμένην.* mg

in or. 1, 5 **17** *ἐν χειρῶν νόμῳ] οὕτω λέγουσι τὸ διὰ μάχης ⟨ἐν⟩ χειρῶν νόμῳ. καὶ φαμέν 'ὁ δεῖνα [ἔχων διὰ μάχης] ⟨ἐν⟩ χειρῶν νόμῳ ἐτελεύτα', οἷον ἐν αὐτῇ τῇ μάχῃ.* amg VxL 50

in or. 1, 6 **18** *προσήκειν δ' ἔγωγε νομίζω] ἐπειδὴ πρεσβύτερος ὢν ὁ Τίμαρχος κρίνεται, φοβεῖ τοῦτο τὸν Αἰσχίνην. καί φησιν ὅτι οὐ δεῖ ζητεῖν νῦν, ᾗπερ ἔχουσιν οἱ νόμοι ⟨οἱ⟩ κελεύοντες αὐτὸν ἄτιμον εἶναι, ἀλλὰ δεῖ πάντας τὰ ἐκ τῶν νόμων πράττειν.* amg VxLS 55

19 *ὁ Σόλων] Δράκοντος νεώτερός ἐστι κατὰ τὴν νομοθεσίαν ὁ Σόλων ἔτεσιν ζ' ⟨καὶ μ'⟩· ὁ δὲ Δράκων ἔγραψε τοὺς φονικοὺς νόμους.* amg VxLS

20 *οἱ κατὰ τοὺς χρόνους ἐκείνους νομοθέται] τοὺς μετὰ Σόλωνα λέγει, οὐχ ὡς καὶ αὐτοὶ ἐνομοθέτησαν, ἀλλ' ὅτι μὴ ἔλυσαν· τῷ γὰρ μὴ λῦσαι δηλοῦσι συντιθέμενοι.* amg VxLS 60

in or. 1, 7 **21** *περὶ τῶν μειρακίων] παῖδας τοὺς ἀνήβους, μείρακας τοὺς ἀρξαμένους ἡβᾶν, ἕως ἂν ἐκ τῶν ἐφήβων ἐξελθόντες ⟨εἰς⟩ ἄνδρας ἐγγραφῶσιν.* amg VxL 65

in or. 1, 8 **22a** *βούλομαι δὴ] ἐντεῦθεν ἡ κατάστασις ἀναμεμιγμένη τοῖς ἀγῶσι.* amg VxLSf **22b** *τοῦτο δὲ κατ' ἐπαγγελίαν τὸ σχῆμα. ἔστι δὲ ἡ κατάστασις ἀναμεμιγμένη καὶ σύμμικτος τοῖς ἀγῶσι δι' αἰτίαν τοιαύτην· ἠπόρει γὰρ μαρτύρων ἐνταῦθα καὶ ὅπως λάθοι τοὺς δικαστάς.* amg VxLS 70

46 cf. Pl. Legg. 3,693 d (*δύο*); Resp. 4,445 c (*πέντε*) ‖ 48 Poll. 8,84 ‖ 57 schol. D. 24,211,379 a; D. S. 9,17

46 *εἶναι* om. **S** ‖ 47 delevi ‖ 48 l. 1,5 *τῶν τυράννων* Fr. | *καλουμένην* om. **g** ‖ 50 l. om. **x** | *διὰ] καὶ* **V** | add. B.S. | *νόμων* **V** ‖ 51 del. BS | *μάχην* **mg** | add. B.S. ‖ 53 l. om. **xS** | *κρίνεσθαι* **V** ‖ 54 *φοβεῖται…ὁ αἰσχίνης* **mg** | *δεῖ] ἐξεῖ* **V** ‖ 55 *ᾗπερ ἔχουσιν* Sau. *εἰ περιέχουσιν* codd. *εἴπερ ἰσχύουσιν* Rei. | *οἱ*[1] – *κελεύοντες* bis **x** | add. B.S. | *ἄτιμον] ἔστιν* **V** *τιμον* **S** ‖ 56 *πάντως* **axL** *πάντα* **mg** | *πράττει* **S** ‖ 57 l. om. **xS** | *ὁ σόλων*[2] post *ἐστι* **VS** ‖ 58 *ζ'] ζῆν* **V** *ρ'* Rei. | addidi ex D. S. 9,17; cf. schol. D. 24,211,379a | *νόμους] μόνον* **V** ‖ 60 l. om. **gx** *οἱ νομοθέται* Fr. | *ἐκείνους* om. **L**[ac] | *χρόνους] καιροὺς* **S** ‖ 61 *ὡς] ὅτι* **x** | *καὶ* om. **mg** ‖ 63 l. om. **x** | *περὶ τῶν* del. Fr. | *παῖδας] πράξας* **V** *παῖδας ⟨καλοῦσιν⟩* Goldschmidt ‖ 64 *⟨εἰ καὶ⟩ ἕως* **V** | *ἂν* om. **mg** | add. Di. | *ἄνδρες* codd., sine term. **L** corr. Di. | *ἐγγραφῶσιν ἄνδρες* **mg** ‖ 66 l. om. **gSf** ‖ 68 *ἀναμεμιγμένη καὶ* om. **g** | *καὶ σύμμικτος* om. **m** | *δι'* – *τοιαύτην* om. **mg** ‖ 69 *ἠπ. γὰρ] ἐπεὶ ἠπ.* **mg** | *⟨δὲ⟩ καὶ* **V** | *λάθῃ* **VxLS**

23 *⟨εὐμαθεῖς⟩] εὐμαθὴς λόγος λέγεται ὁ εὔγνωστος καὶ εὐκόλως καταλαμβανόμενος. ὡς ἐνταῦθα καὶ παρὰ Σοφοκλεῖ* (Ai. 15)·

ὡς εὐμαθές μοι, κἂν ἄγνωστος ᾖς ὅμως,
φώνημ' ἀκούω καὶ ξυναρπάζω φρενί. mg

75 **24** *ἀπιέναι] ἀντὶ τοῦ 'ἀναχωρεῖν'.* axL. — in or. 1, 9

25 *εἰσφοιτῶντας] περὶ τῆς συμφοιτήσεως· ἐκεῖ μὲν τίνας δεῖ φοιτᾶν, νῦν δὲ πῶς μετ' ἀλλήλων εὑρίσκεσθαι. ἐν δὲ τοῖς χοροῖς τοῖς κυκλίοις μέσος ἵστατο ⟨ὁ⟩ αὐλητής.* amgVxLS — in or. 1, 10

26a *ἀρχὴ] οἱ καλούμενοι παιδονόμοι.* amgVxLS

80 **26b** *διὰ τοὺς σώφρονας.* aL

27 *Μουσείων] κατὰ κοινοῦ τὸ 'παρακελεύεται ὁ νομοθέτης'. θέλει δὲ εἰπεῖν ὅτι ἀγαλμάτια ἦν, ὥσπερ καὶ ναΐσκάρια, ἐν τῷ ἐνδοτέρῳ οἴκῳ τῶν διδασκαλείων καὶ τῶν παλαιστρῶν, Μουσῶν καὶ Ἑρμοῦ καὶ Ἡρακλέους. ἐκεῖ δὲ ἔσω ἀπέκειτο ὕδωρ, ἵνα μή τις διψήσῃ τῶν παίδων.*
85 *προσποιούμενοι δὲ διψῆν εἰσήρχοντο καὶ ἐκεῖσε ἔσω ἠχρειοῦντο μετ' ἀλλήλων. ἐκέλευσεν οὖν ὁ νομοθέτης περὶ τούτων εἶναι ἐπιμέλειάν τινα.* amgVxLSf

28 *Ἑρμαίων] ἑορτὴ τοῦ Ἑρμοῦ ὡς ἐφόρου ὄντος τῶν ἀγώνων.* amgVxLS

90 **29** *τῶν παίδων καὶ τῶν χορῶν] ἐξ ἔθους Ἀθηναῖοι κατὰ φυλὴν ἵστασαν πεντήκοντα παίδων χορὸν ἢ ἀνδρῶν, ὥστε γενέσθαι δέκα χορούς, ἐπειδὴ καὶ δέκα φυλαί. διαγωνίζονται δ' ἀλλήλοις διθυράμβῳ, φυλάττοντος τοῦ χορηγοῦντος ἑκάστῳ χορῷ τὰ ἐπιτήδεια. ὁ δ' οὖν νικήσας χορὸς τρίποδα λαμβάνει, ὃν ἀνατίθησι τῷ Διονύσῳ. λέγονται δ' οἱ*
95 *διθύραμβοι χοροὶ κύκλιοι καὶ χορὸς κύκλιος.* amgVxLS

71 Thom. 147,7 ‖ 88 Poll. 1,37 ‖ 90 A. Pickard-Cambridge, Dithyramb, tragedy and comedy, 1962², 35 sq.

71 l. add. Fr. ‖ 73 *μοι] σου* Soph. | *ἄγνωστος] ἄποπτος* Soph. ‖ 75 l. om. **xL** | *ἀντὶ τοῦ* om. **xL** ‖ 76 l. om. **gx** *εἰσφοιτῶντας ⟨– ἐγκυκλίων⟩* Di. | *περὶ – συμφοιτήσεως* del. Di. | *τῆς* om. **L** ‖ 77 *δὲ*² post *χοροῖς* **amgVxS** ‖ 78 *ἵσταται* **xL** | add. B.S. ‖ 79 l. om. **gxS** *ἀρχὴν* **a**pc *παιδαγωγῶν* Rei. | schol. hab. bis **a** ‖ 81 l. om. **gx** *ἐπιμελείας* **f** | *τὸ* om. **f** ‖ 82 *καὶ ναΐσκάρια] κοινὰ ἰσκάρια* **f** *κλινισκάρια* Rei. ‖ 83 *τῷ διδακαλείῳ κ. τῷ παλαίστρῳ* **V** | *⟨δὲ⟩ μουσῶν* **S** ‖ 84 *⟨τὸ⟩ ὕδωρ* **a** ‖ 85 *ἐκεῖ* **f** | *ἠχρηστοῦντο* **a** (-*στ*- in ras. **m**) **mgVxLS** ‖ 86 *οὖν] δὲ* **VS** | *⟨καὶ⟩ περὶ* **f** | *τούτου* **f** ‖ 88 l. om. **xS** | *τοῦ ἀγῶνος* **V** ‖ 90 l. om. **a** *συμφοιτήσεως* **VxLS** *τῶν χόρων ⟨τῶν ἐγκυκλίων⟩* Fr. *τεσσαράκοντα* Rei. | *ἀθηναῖοι* post *φυλὴν* **g** | *φυλὰς* Fr. | *ἵστασι* **V** ‖ 91 *χορούς* **VS** ‖ 92 *ἀλλήλων* **V** | *διθυράμβων* **VxL** | *φυλάττοντες* **a** | *φυλαποῦντος* **m**ac ‖ 94 *ὃν] καὶ* **x** om. **L** | *ἀνατίθησι τῷ] ἀντι*(fen.) **V** | *λέγεται* **V** | *δ' οἱ* om. **gL**

in or. 1, 11 **30** *τὸν χορηγὸν*] *καὶ πῶς ὁ Δημοσθένης τριάκοντα ἔτη ἔχων ἐγένετο χορηγός; ἀπορίᾳ δηλονότι χορηγοῦ.* amgVxL

in or. 1, 13 **31** *ἐκ γὰρ τοῦ*] *ἀποδείξεις τοῦ γίγνεσθαι ἐν τῇ πόλει.* amgVxL

32 *κατ' αὐτοῦ*] *οἱ μὲν ἐπάνω διορισμοὶ τοῦ νόμου ῥητά εἰσιν. εἶτα τὸ λοιπὸν τοῦ νόμου ἐάσας ἀφ' ἑαυτοῦ φησι 'κατ' αὐτοῦ μὲν' καὶ τὰ* 100 *ἑξῆς.* amgVxL

33 *ἐπάναγκες*] *ἐξῆν γὰρ αὐτῷ, εἰ ἐβούλετο, τρέφειν τὸν πατέρα, μὴ βουλόμενον δὲ οὐκ ἠνάγκαζεν ὁ δῆμος.* amgVxLS

34 *ἡβήσαντι*] *ἀντὶ τοῦ 'τελειωθέντι, εἰς ἄνδρας ἐγγραφέντι'.* amgVxLS 105

35 *τὰ νομιζόμενα*] *σπένδειν, ἀπάρχεσθαι, τὰ ἠρία ἐπιτελεῖν.* amg VxLS

in or. 1, 14 **36** ⟨*ὄνησιν*⟩] *τὸ εὖ πάσχειν παρὰ τῶν παίδων.* aVxLS

37 *τοῦ παιδὸς*] *πῶς λέγει* (13) *'κατ' αὐτοῦ μὲν τοῦ παιδὸς οὐκ ἐᾷ γραφὴν εἶναι', ἐνταῦθα δὲ ὅτι 'ἀφαιρεῖ αὐτοῦ τὴν παρρησίαν'; ἀνάγκη* 110 *δέ, εἰ τολμῴη λέγειν, γράφεσθαι καὶ εὑρίσκεσθαι φύσει ἀντινομίαν· ὅπερ οὐχ οἷόν τε. φαμὲν οὖν ὅτι ἡσυχάζοντα αὐτὸν οὐ γράφεται, ὥσπερ ἐπὶ τῶν ἑκουσίως ἡταιρηκότων, ἀλλὰ λέγειν βιαζόμενον· εἰ γὰρ θέλει λέγειν, κωλύει ὁ νόμος.* amgVxLS

in or. 1, 15 **38** *ὅτι χρὴ παθεῖν ἢ ἀποτῖσαι*] *τῇ τῆς ὕβρεως γραφῇ ὁ νόμος ἐπέθηκε* 115 *τίμημα οὐχ ὡρισμένον τι, ἀλλ' ὅ τι ἂν τὸ δικαστήριον ἢ εἰς χρήματα ἢ εἰς τὴν ἄλλην ἐπιτιμίαν καταδικάσῃ.* amgVxLS

in or. 1, 18 **39a** *ἐγγραφῇ εἰς τὸ ληξιαρχικὸν γραμματεῖον*] *ὡσανεὶ ἔλεγεν 'ὅταν γένωνται τῆς ἐννόμου ἡλικίας'. ἐγράφοντο δὲ ἀπὸ ἐτῶν ὀκτωκαίδεκα καὶ δύο ἔτη εἰς τοὺς ἐφήβους ἐτέλουν καὶ ἐφύλαττον περὶ τὴν πόλιν τὰ* 120

115 cf. schol. Aeschin. 1,1,1 a; D. 21,47 ‖ 118 Hes. *λ* 890; Harp. s.v. *ληξιαρχικὸν γραμματεῖον*; S. *λ* 463; Ph. s.v.; schol. Aeschin. 3,122,273 ab; schol. Luc. 67,3

96 l. om. **a** *τετταράκοντα ἔτη* Fr. ‖ 98 l. om. **ag** *γινομένων δ' οἶμαι ἐν τῇ πόλει* **m** ‖ 99 l. om. **g** | *εἰσιν* om. **V** ‖ 102 l. om. **gS** ‖ 103 *οὐκ* om. **mg** ‖ 104 l. om. **g** *τρέφειν* **m** ‖ 106 l. om. **g** *καὶ ἄλλα* **S** ⟨*καὶ τἄλλα* –⟩ *νομ.* Fr. | *σπεύδειν* **mgxLS** *σπε*(fen. 1 litt.)*δειν* **V** | *τὰ ἠρία* Schei. *τὰς ἡμέρας* codd., quod defendit Wyse (CR 6,1892,227) et Goldschmidt ex Aeschin. 3,77 | *ἀποτελεῖν* **xL** | *108* l. add. Rei. | *περὶ* **S** ‖ 109 l. om. **g** *ἐκεῖνος* **S** (*ἐκείνου* vulg. Aeschin.) ‖ 110 *αὐτὴν* **m**^{ac} ‖ 111 *δέ*] *γάρ* Sau. | ⟨*συγ*⟩*γράφεσθαι* **L** | *εὑρίσκεται* **AVxS** | *ἀντινομία* **aVxS** ‖ 113 *γὰρ* om. **V** ‖ 114 *θέλοι* **xL** sine term. **S** ‖ 115 l. om. **axS** *τίμημα ἐπέθηκεν* Fr. | *ἀποτεῖσαι* vulg. Aeschin. ‖ 116 *ὁρισμένον* **V** | *ἂν*] *εἰς* **V** | *ἢ* – 117 *καταδικάσῃ* hab. separatim **V**^{il} ad *ἐξαμαρτόντες* ‖ 118 schol. hab. bis **a** | l. om. **a**^{1,2} *εἰς τὸ ληξιαρχικὸν* Fr. ‖ 119 *ἐνεγράφοντο* **af** | *ἀπὸ*] *ἐξ* **a**^{2} ‖ 120 *φύλαττον* **L** | *περὶ τὴν* ⟨*ἀκρό*⟩*πολιν* post *φρούρια* **mg** | *τὰ* om. **a**^{2}**f**

φρούρια· ἀπὸ εἴκοσι δὲ ἐτῶν ἐπολέμουν. ἐκλήθη δὲ ληξιαρχικὸν ἀπὸ τῆς λήξεως, ὅ ἐστι τῆς οὐσίας καὶ τοῦ κλήρου, καθώσπερ ἐξουσίαν ἐλάμβανε αὐτὸς ὁ ἐγγραφεὶς τῶν πατρῴων, εἰ ἦν ὑπὸ ἐπιτρόπους. amgVxLSf **39b** *ἢ ἀπὸ τοῦ τοὺς ἐν αὐτῷ γραφομένους ἄρ-*
125 *χειν τῆς λήξεως, ὅπερ ἐστὶ τοῦ κλήρου. ἐγράφοντο δὲ ἐνταῦθα οἱ τέλειοι γενόμενοι καὶ δυνάμενοι τὰ κοινὰ διοικεῖν. ἄλλως· εἰς ὃ ἀνεγράφοντο οἱ τῆς νομίμου πολιτείας καὶ ἡλικίας γενόμενοι, οἷς ἐξῆν οἰκονομεῖν τὰ πατρῷα. καὶ ἦν τὰ γραμματεῖα ταῦτα παρὰ τοῖς δημόταις, ἔνθα ἀνεγράφοντο οἱ ἐκ παίδων γενόμενοι μειρακίσκοι, ἴσως ὅτι*
130 *ἔξεστι τούτοις λαγχάνειν τινὰς ἀρχὰς ὡς ἤδη νοοῦσιν.* amgVxLS
40 *⟨καὶ τοὺς νόμους εἰδῇ τοὺς τῆς πόλεως⟩] περισπωμένως ἀναγνωστέον ἀντὶ τοῦ 'ἐὰν γνῷ καὶ μάθῃ'.* f
41a *ἀλλ' ἤδη αὐτῷ Τιμάρχῳ] ὡσανεὶ ἔλεγεν 'ἀλλ' ἤδη αὐτῷ τῷ ἡταιρηκότι', ὄνομα τῆς ἀσελγείας ποιούμενος Τίμαρχον.* amgVxLSf
135 **41b** *τοῦτο δὲ τὸ σχῆμα καλεῖται παρ' ὑπόνοιαν.* amgVxLS
42 *τῶν ἐννέα ἀρχόντων] ⟨ἡ⟩ ἀρχὴ αὕτη ἐν Ἀθήναις σεμνὴ καὶ στεφανηφοροῦσα [καὶ ἡ ἀρχὴ στεφανηφόρος]· οἱ γὰρ ἐννέα ἄρχοντες στέφανον ἐφόρουν μυρρίνης. ἦσαν δὲ ἄρχων, βασιλεύς, πολέμαρχος καὶ θεσμοθέται ἕξ. οὗτοι δὲ οἱ ἐννέα ἄρχοντες μετὰ τὸ ἐξελθεῖν ἐκ τῆς* in or. 1, 19
140 *ἀρχῆς Ἀρεοπαγῖται γίνονται.* amgVxLS
43 *ἱερωσύνην ἱερώσασθαι] οὐ παντὶ τῷ βουλομένῳ ἐξῆν ἱερᾶσθαι, ἀλλὰ τῷ ἐκ γένους καταγομένῳ ἱερατικοῦ. οὕτω δὲ καὶ τὸ* (20) *'μηδὲ κηρυκευσάτω'.* amgVxLS

136 Poll. 8,85; Ba. 149,1; S. *α* 4119; Ph. *α* 2936 ‖ 146 Arist. Ath. 57,1; Harp. s.v. *ἐπιμελητὴς τῶν μυστηρίων*; S. *ε* 2468; Poll. 8,103; Et. Gen.; E. M. 302,9; cf. schol. Aeschin. 3,18,55 ac

121 *ἀπὸ – ἐτῶν] ἐξ ἐτῶν δὲ κ´* **a**² | *⟨τὸ⟩ ληξ.* Schei. | *ἀπὸ*²] *ἐκ* **a**² ‖ 122 *καὶ* om. **a**¹**mg VxLS**, sed vide Harp. | *καθὸ* (*καὶ* **a**²) *ὥσπερ* codd., corr. Sau. *καθόπερ* Schei. | *καθώσπερ – 125 κλήρου* om. **g** ‖ 122 *ἐξουσίαν ⟨λοιπὸν⟩* **a**²**f** ‖ 123 *αὐτὸς ὁ ἐγγραφεὶς* post *πατρῴων* **m** | *ἐπιτρόποις* **m**ᵖᶜ *ἐπι* **m**ᵃᶜ ‖ 126 *γινόμενοι* codd., corr. F. | *κοινὰ] καλὰ* **VS** ‖ 127 *ἂν ἐγράφοντο* **mg** | *γινόμενοι* **L** ‖ 128 *πατρῷα – τὰ* om. **V** | *γράμματα* **S** ‖ 129 *ἔνθα] ἐνταῦθα* **xL** | *γινόμενοι* **mg** ‖ 131 l. add. Di. ‖ 132 *ἐὰν* del. Di. ‖ 133 l. *αὐτῷ Τιμάρχῳ* Rei. | *αὐτῷ*¹ *⟨τῷ⟩* **V** | *ἀλλ'*² *– ἡταιρηκότι* om. **f**, praeb. post 135 *ὑπόνοιαν* codd. reliqq., transp. Sau. ‖ 133 *τῷ* om. **gxLS** ‖ 134 *ἀσεβείας* **f** | *ποιουμένῳ Τιμάρχῳ* Schei. | *τίμαρχος* **V** ‖ 136 l. *στεφανηφόρος* Fr. | add. B.S. ‖ 137 del. B.S. | *οἱ γὰρ] καὶ οἱ* **a** | *ἐννέα* om. **g** | *στεφάνους* **VS** ‖ 138 *ἄρχοντες* **mg** ‖ 139 *δὲ* om. **x** ‖ 140 *ἀρρεοπαγῖται* **am** ‖ 141 l. *ἱερῷ συνῆν* **L** *ἱερώσασθαι* Fr. | *ἱερώσασθαι] ἱεράσαθαι* **agS** | *ἱερᾶσθαι] ἱεράσασθαι* **aS** ‖ 142 *τὸ μηδὲ] μὴ τὸ δὲ* **V** | *μὴ δὲ* **amgxLS**, corr. Fr.

44 *μηδὲ συνδικησάτω*] *ἀντὶ τοῦ 'μὴ γενέσθω ἐκ τοῦ μεγάλου δικαστηρίου, τῆς ἡλιαίας, ὅτε ὁ δῆμος δικάζει'.* amgVxLS 145

in or. 1, 20 **45a** *κηρυκευσάτω*] *ἄξιον ἀπορεῖν· τὸ γὰρ τῶν Κηρύκων γένος πρόσθεν ἦν ἱερόν. καὶ οὕτω λέγονται κήρυκες περὶ τὰ μυστήρια τὰ τῶν θεῶν ὄντες. δεῖ δὲ λέγειν ὅτι 'τῷ ἐκ τοῦ γένους ἀπαγορεύει κηρυκεύειν, ἄν τι πάθῃ'.* amgVxL **45b** *ἄλλως· κηρύκων ἐστὶν ἐν Ἀθήναις γένη τέσσαρα, πρῶτον ⟨τὸ⟩ τῶν πανάγνων τῶν ἐν τοῖς μυστηρίοις, οἵ εἰσιν ἀπὸ Κήρυκος τοῦ Ἑρμοῦ καὶ Πανδρόσου τῆς Κέκροπος, δεύτερον τὸ τῶν περὶ τοὺς ἀγῶνας, τρίτον τὸ τῶν περὶ τὰς πομπάς, τέταρτον τὸ τῶν περὶ τὴν ἀγορὰν καὶ τὰ ὤνια. 'μὴ κηρυκευσάτω' οὖν, μὴ ἐπὶ κηρυκείαν ἀποστελλέσθω. νῦν οὐ περὶ τῶν κατὰ γένος Κηρύκων λέγει, ἀλλ' ἐπὶ τῶν κατὰ πόλεμον πεμπομένων πρὸς πολεμίους μετὰ κηρυκείων περὶ σπονδῶν καὶ εἰρήνης. ἐπέμποντο δὲ ἐκ πάντων Ἀθηναίων. μηδ' ἐπὶ τοιαύτην οὖν, φησι, διακονίαν πεμπέσθω ὁ ἡταιρηκώς.* amgVxLS 150 155

46 *πρεσβεύσαντας κρινέτω*] *ἐπειδὴ ἀπέθετο μετὰ Δημοσθένους Τίμαρχος τὴν κατ' Αἰσχίνου τῆς παραπρεσβείας γραφήν.* amgVxL 160

47 *ὁ μισθωθεὶς συκοφαντείτω*] *'συκοφαντεῖ'· τοῦτο ἔξωθεν αὐτὸς πρὸς τὸν Τίμαρχον, ἤτοι ὡς αὐτὸς πρεσβεύσας καὶ συκοφαντηθεὶς ἢ ὡς ἑτέρου τοῦτο παθόντος ὑπὸ τοῦ Τιμάρχου. ἄλλως· ἆρα οὖν τοῖς μὴ ἡταιρηκόσιν ὁ νόμος συκοφαντεῖν λέγει; οὔκ, ἀλλὰ τοῦτο λαμβάνει ἐκ τοῦ μείζονος ἀτόπου· 'εἰ γὰρ νόμιμόν σε οὐκ ἐᾷ πράττειν, πολλῷ μᾶλλον παράνομον'.* amgVxL 165

48 *⟨γραφὰς ἑταιρήσεως ... ἐπέθηκεν⟩*] *αὐτὸς ὁ νομοθέτης δηλονότι.* aVxLSf

149 Paus. 1,38,3; Harp. s. v. *κήρυκες*; S. *κ* 1542; Ph. s. v.; Hes. *κ* 2560; Lex. Cant. 79,3; schol. Hom. *Α* 334

144 l. om. **L** | *συνδικήσῃ* **Vx** ‖ **145** *ἡλικίας* **g** | *ὅτι* **xL** ‖ **146** l. *μηδὲ τοὺς πρεσβεύσαντας κρινέτω* **L** | *τῶν*] *τὸ* **L** om. **x** ‖ **147** *ἦν*] *ἐστὶν* **aVxL** | *λέγοντες* **mxL** sine term. **a** | *κύρυκες* **g** ‖ **148** *ταῖν θεοῖν* Fr | *ὄντες* om. **V** | *δεῖ* – **149** *πάθῃ* om. **x** ‖ **148** *δὲ* om. **V** | *τῷ*] *τὸ* **m**pc**V** | ⟨*τούτου*⟩ *τοῦ* Schei. ‖ **149** *ἄλλως* om. **g** *κηρυκευησάτω* **S** ‖ **150** *γένος* **g** | *τέσσαρα* om. **g** | add. Sau. | *πανάγων* **aVS** | *τῶν*2 – *μυστηρίοις* om. **mg** ‖ **151** *ἦσαν* **S** | *πανδρόσης* **mg** ‖ **152** *τῶν*1 om. **S** | *τὸ*2 om. **L** | *τῶν*2 om. **S** ‖ **153** *τὸ* om. **L** | *τῶν* om. **S** | *τὰς ἀγορὰς* **mg** | *κηρυκευσάντων* **V** ‖ **154** *οὐ*] *οὖν τῶν* **L** | *τῶν* om. **L** ‖ **155** *πρὸς* ⟨*τοὺς*⟩ Rei. | *πολέμιον* **VS** *πόλεμον* **amg** ‖ **156** *κηρυκειῶν* **mgx** sine term. **VS** ‖ **157** *ὁ* om. **amVxLS** ‖ **159** l. om. **L** ‖ **160** *γραφήν* om. **V** *γράφειν* **L** ‖ **161** l. *συκοφαντείτω μισθωθεὶς* **g** | *συκοφαντεῖ*] *συκοφαντοῦν* **V** del. Rei. ‖ **162** *τὸν* om. **V** ‖ **163** *τοῦ* om. **amgxL** | *ἄλλως* om. **g** ‖ **164** *λέγειν* **a** sine term. **V** ‖ **167** l. add. Sch. | *αὐτὸς* om. **x** praeb. ad *ἑταιρήσεως* **V**il

49 *⟨ἀνέγνω⟩] ὁ γραμματεὺς ἀνεγίγνωσκε.* xL in or. 1, 22

170 **50** *περὶ εὐκοσμίας] ἐπιγραφὴ τοῦτο τῶν νόμων ἦν.* mg

51 *προέδρους] πρόεδροί εἰσιν οἱ ἐν τῇ ἐκκλησίᾳ προκαθήμενοι.* amgVxL in or. 1, 23

52 *⟨χρηματίζειν⟩] ἀντὶ τοῦ 'πράξασθαι'.* VS

53a *τὸ καθάρσιον] οἷον χοῖρον ἐσφαγμένον, δι' οὗ ἐκάθηραν τὴν ἐκ-*
175 *κλησίαν.* f

53b *τὸ καθάρσιον] ὁ λεγόμενος περιστίαρχος ἱερεῖον λαβὼν τούτῳ καθαίρει τὴν ἐκκλησίαν. τοῦτο λέγεται καὶ κάθαρμα καὶ καθάρσιον. Ἀριστοφάνης Ἀχαρνεῦσι* (44)·

πάριθ', ὡς ἂν ἐντὸς ἦτε τοῦ καθάρματος.

180 *ἔθος δὲ ἦν καθαίρειν τὴν ἐκκλησίαν καὶ τὰ θέατρα μικροῖς χοιριδίοις, ἃ καθάρσια ἐκάλουν. καὶ προσηγορεύοντο οἱ περικαθαίροντες περιστίαρχοι. τὸ δὲ καθάρσιον ἦν χοῖρος ἐσφαγμένος, δι' οὗ ἐκάθηραν τὴν ἐκκλησίαν.* amgVxLS

54 *περὶ ἱερῶν τῶν πατρίων] ὅτι τὰ ἱερὰ πρῶτον εἰσεκάλουν, οὐκοῦν*
185 *καὶ περὶ ἱερῶν καὶ περὶ κηρύκων· καὶ γὰρ οὗτοι ἱεροί· εἶτα πρέσβεων καὶ τῶν ἄλλων ὁσίων. ὅσια δέ ἐστι τὰ μὴ ἱερά. ὥστε πρῶτον τὰ ἱερά, δεύτερον δημόσια, τρίτον ἰδιωτικά.* amgVxL

55 *ὁσίων] 'ὅσια' καλεῖ τὰ δημόσια.* aVxLSf

56 *πάντες εἴπωσι] οὐχ ὅτι πάντες ἔλεγον, ἀλλ' οἱ βουλόμενοι.*
190 amgVxLS

57a *τόλμα] 'τόλμα' φησὶ τὸ θρασέως τι ἢ τολμηρῶς ποιεῖν.* amgVxLSf in or. 1, 24

170 cf. schol. Aeschin. 1,28,65 ‖ 173 Ba. 417,6; Bk. 316,22; Hes. *χ* 715; E. M. 816,49; Lex. Rhet. 42; schol. Luc. 230,6 ‖ 174 Poll. 8,104; Harp. s.v. *καθάρσιον*; S. *κ* 38; Ph. s.v.; Bk. 269,16; schol. Ar. Ach. 46 ‖ 176 *περιστίαρχος*] Hes. *π* 1883; Poll. 8,104; S. *π* 1306; Ph. s.v.; schol. Ar. Ach. 44; schol. Ap. Rh. 4,704–707 ‖ 186 *τὰ μὴ ἱερά*] Tim. s.v. *ὅσια*; cf. S. *ο* 688; Ph. s.v. *ὅσιον χωρίον*; schol. Pl. Resp. 344 a; schol. Ar. Lys. 743 ‖ 187. 188 *δημόσια*] Harp. s.v. *ὅσιον*; S. *ο* 687; Bk. 288,3; Lex. Pat. ad D. 23,40

169 l. add. Fr. | *ὁ ⟨γὰρ⟩* **L** | *ἀνεγίγνωσκε* om. **x** ‖ 170 l. om. **g** ‖ 171 l. 1,23 *προέδρους*[2] Sch | *προκαθεζόμενοι* **V** ‖ 173 l. addidi ‖ 174 *καθῆραν* **f**, corr. Di. ‖ 176 *ὁ* om. **x** ‖ 177, 180, 183 *τῇ ἐκκλησίᾳ* **V** ‖ 177 *καὶ*[1] om. **mg** ‖ 179 *ἂν ⟨εἰ⟩* **V** ‖ 181 *καθαιρόντες* **x** ‖ 182 *ἐστι* **VS** | *καθῆραν* **agVxLS**, corr. Fr. *ραν* **m**[ac] *ἐκάραν* **m**[pc] ‖ 184 l. om. **mgx** *ἱερῶν – κηρύκων* Fr. | *οὐκοῦν*] *καὶ κεῖνον* **V** ‖ 185 *καὶ*[1]] *πρῶτον* Sau. | *περὶ*[2] om. **g** | *οὗτοι*] *οὐ γὰρ* **V** | *εἶτα*] *εἰσὶ τὰ* **V** | *πρεσβεύων* **L** ‖ 188 l. om. **xLSf** ‖ 189 l. om. **x** | *εἴπωσι* del. Fr. | *ἀλλ⟨άτοι⟩* **V** *⟨ὅτι⟩* **S** ‖ 191 l. om. **xf** | *φησὶ*] *δὲ* **V** *μὲν* **S** | *τολμηρὸν* **f** | *ποιεῖν*] *εἰπεῖν* **V**

57b *ἐπειδὴ δὲ οἱ πρεσβύτεροι ὡς ἔμπειροι πραγμάτων εὐλαβοῦντο συμβουλεύειν, μὴ ἀποτυχίας γενομένης κριθῶσι, διὰ τοῦτο αὐτοὺς ὁ νόμος καλεῖ, ἵνα ἐξ ἀνάγκης ἀναστάντες δημηγορήσωσιν. 'ἀλλὰ καὶ* 195 *τοὺς ἄλλους καλεῖ' φησίν. ἐκείνους μὲν οὖν ἀορίστως, τούτους δὲ ὡρισμένως.* amgVxLS

58 *τοὺς νεωτέρους*] *εἰ γὰρ ἡ πόλις αὐτοὺς τιμῶσα πρώτους καλεῖ, καὶ οἱ νέοι αὐτοὺς τιμήσουσιν.* amgVxLS

59 *ἐὰν ἄρα δὴ διαγενώμεθα*] *ἐὰν διασωθῶμεν μέχρι γήρως, ἐὰν ἀφι-* 200 *κώμεθα εἰς τὸ γῆρας.* amgVxLS

in or. 1, 25 **60** *τὴν ἀνόμοιον*] *κατὰ τὸ γένος τῆς κακίας καὶ τῆς ἀρετῆς· οὐ γὰρ δήπου τῆς δικαιοσύνης καὶ τῆς ἑταιρήσεως.* amgVxLS

61 *ὅτι πάντες*] *τὸ 'πάντες' νῦν ἐπὶ τοῦ 'οἱ πολλοί'.* amgVxLS

62 *Σόλωνος εἰκόνα*] *ἀνετέθη ἡ Σόλωνος εἰκὼν οὐκ ἐπὶ τῷ ἐν κόσμῳ* 205 *λέγειν, ὥς φησιν Αἰσχίνης, ἀλλ' ἐπειδὴ οὕτω τὰ ἐλεγεῖα ἀπήγγειλε. Δημοσθένης μέντοι* (19, 251) *νεωστί φησι πρὸ πεντήκοντα ἐτῶν ἀνατεθεῖσθαι ταύτην τὴν εἰκόνα. λέγεται δὲ Κλέων ὁ δημαγωγὸς παραβὰς τὸ ἐξ ἔθους σχῆμα περιζωσάμενος δημηγορῆσαι.* amgVxLS

in or. 1, 27 **63** *οὐκ ἀπελαύνει*] *ταῦτα προσαγωγά εἰσι πρὸς τοὺς δικαστὰς ἰδιώτας* 210 *ὄντας.* amgVxLS

64 *πολλάκις ἐπερωτᾷ*] *διὰ τοῦ καλεῖν τὴν ἐξουσίαν δηλῶν.* amgVxL

in or. 1, 28 **65** *δοκιμασία*] *ἐπιγραφὴ τοῦ νόμου τοῦτο ἦν.* mg

in or. 1, 29 **66** *τὰ ὅπλα μὴ τίθεσαι*] *τὸ τίθεσθαι λέγεται καὶ ἐπὶ τοῦ ἀποτίθεσθαι τὰ ὅπλα καὶ ἐπὶ τοῦ περιτίθεσθαι καὶ ἐνδύεσθαι, ὡς ἔγνωμεν ἐν τοῖς* 215 *Θουκυδιδείοις ἐν τῷ δευτέρῳ* (2). *ἐνταῦθα οὖν ἐπὶ τοῦ περιτίθεσθαι λέγει.* amgVxLSf

67 *εἰ πεπορνευμένος*] *πεπορνευμένος ἐστὶν ὁ πολλάκις ἁμαρτὼν εἰς τὸ σῶμα τὸ ἑαυτοῦ, ἡταιρηκὼς δὲ ὁ πρὸς ἅπαξ.* amgVxLS

205 D. 26,23; Ael. VH 8,16 || 208 *Κλέων*] Arist. Ath. 28,3; Plu. Nic. 8; schol. Luc. 116,7 || 213 schol. Aeschin. 1,22,50 || 214 Harp. s. v. *θέμενος τὰ ὅπλα*; S. *θ* 112; Ph. s. v.; An. Ox. 2,496,1; Vind. *θ* 23; schol. Th. 2,2,4 || 218 schol. Aeschin. 1,52,117

193 *δὲ*] *καὶ* **L** | *ὡς ἔμπειροι* bis **m** || 194 ⟨*ἵνα*⟩ *μὴ* Rei. | *γινομένης* **L** | *αὐτὸς* **amgV** || 195 *δημηγορήσωμεν* **VS** || 196 *καλεῖ* om. **L** | *οὖν* om. **gV** | ⟨*φησι*⟩ *ἀορίστως* **S** || 198 l. om. **xS** || 200 l. om. **xS** *διαλεγόμεθα* **V** *ἀφιξόμεθα* **m** | *γήρους* **mgV** || 202 l. om. **xS** | *τῆς*[2] om. **V** || 204 l. om. **xLS** | *ἐπὶ*] *ἀντὶ* Rei. || 205 l. om. **x** || 209 *περισωσάμενος* **a** || 210 l. om. **S** | *ἐστι* Rei. || 212 l. om. **g** | *τοῦ*] *τί* **V** *τὸ* **xL** || 213 l. om. **g** || 214 l. om. **gSf** | *τὸ* om. **amgVx LS** | *λέγει* **amgxL** sine term. **VS** *λέγειν* ⟨*χρὴ*⟩ vel ⟨*εἰώθασι*⟩ Rei. || 215 *τὰ ὅπλα* om. **f** | *τὰ* – *περιτίθεσθαι* om. **V** | ⟨*ὡς*⟩ *καὶ*[2] **x** | *ἀνέγνωμεν* **S** || 216 *τῷ*] *τῇ* **f** | *οὖν*] *δὲ* **mg** *ὡς* **f** | *ἐπὶ* Rei. *περὶ* codd. | *ἀποτίθεσθαι* **amgVxLS** *ἐπιτίθεσθαι* **f**, corr. Fr. || 218 l. om. **gS** *πεπορνευμένον* **V** | *εἰ*] *ἢ* vulg. Aeschin. | *πεπορνευμένος*[2] del. B.S. || 219 *τὸ* om. **mgVS** | *ἑαυτοῦ σῶμα* **mg**

220 **68** *οἰκήσαντα*] *ἀντὶ τοῦ 'διοικήσαντα', ὡς καὶ παρ' Ἰσοκράτει* (2, 19) in or. 1, 30
'οἴκει τὸν πατρῷον οἶκον' ἀντὶ τοῦ 'διοίκει'. amgVxLSf

69a *πάνυ κακῶς*] *τὸ 'κακῶς' οὐ πρὸς τὸν τρόπον κεῖται (τοῦτο γὰρ* in or. 1, 31
ἄτοπον), ἀλλὰ πρὸς τὸν λόγον, πρὸς τὴν φράσιν, πρὸς τὴν συνθήκην
τοῦ λόγου. 'ἁπλῶς' δὲ ἀντὶ τοῦ 'μονοτρόπως ἢ ἰδιωτικῶς καὶ οὐ κατὰ
225 *τέχνην ῥητορικήν'. καὶ Θουκυδίδης· 'εἰ μὲν ἁπλῇ παρασκευῇ πορευ-*
σόμεθα', ἤγουν μονοτρόπῳ καὶ μιᾷ. g

69b *ἰδιωτικῶς.* f

70 *ἐπαγγειλάτω*] *πάλιν περιφραστικῶς λέγει 'τὴν ἐπαγγελίαν κατη-* in or. 1, 32
γορείτω'. ἐπαγγελία δέ ἐστιν ὄνομα δίκης κατὰ τῶν ἡταιρηκό-
230 *των.* amgVxLSf

71 ⟨*οἷς ἔξεστι*⟩] *διὰ τοὺς ἀτίμους.* a

72 *ὑμεῖς δ' ἔτι*] *ἡ σύνταξις 'ὑμεῖς δὲ προσέθεσθε καινὸν νόμον, καθ'* in or. 1, 33
ἑκάστην ἐκκλησίαν ἀποκληροῦν'. τὰ δὲ ἄλλα διὰ μέσου. amgVxL

73 *προσέθεσθε*] *προσενομοθετήσατε.* amgVxLSf

235 **74** *μετὰ τὸ καλὸν παγκράτιον*] *ψεύδεται· οὐ γὰρ διὰ Τίμαρχον· πα-*
λαιότερος γὰρ ἦν. amgVxLS

75 ⟨*μεταπεμψόμεθα*⟩] *ἀντὶ τοῦ 'τάξητε'.* af

76 *ἀνεκτοὶ*] *οὓς δύναταί τις φέρειν καὶ ἀνέχεσθαι· τιμωρουμένους γὰρ* in or. 1, 34
αὐτοὺς καὶ μηκέτι ἐνοχλοῦντας τῷ βήματι δυνάμεθα φέρειν.
240 amgVxLS

77 *γεγραμμένοι εἰσὶ*] *τοῦτ' ἔστιν 'ἐγράψαντο'.* mg

78 *βούλομαι δ' ὥσπερ ὑπεθέμην*] *οὕτω γὰρ ἐπηγγείλατο, πρῶτον περὶ* in or. 1, 37
τῶν νόμων ἐρεῖν, εἶτα ἐξετάσαι τοὺς τρόπους τοῦ Τιμάρχου.
amgVxLS

245 **79** *δέομαι δὲ ὑμῶν*] *τὸ σχῆμα προδιόρθωσις. εἰώθασι δὲ αὐτῇ χρῆσθαι,*
ὅταν μέλλωσιν ἀναγγέλλειν τι, πρὸς ὃ δυσκόλως διάκεινται οἱ ἀκούον-

227 Σ[b] mg ‖ 229 *ἐπαγγελία*] Poll. 8,43; Bk. 241,15; Lex. Pat. ad D. 22,23 ‖ 238 cf. Poll. 6,131 ‖ 245 cf. Alex. 14,26

220 l. om. **axS** | schol. legi vix potest in **a** | *διοικήσαντος* **V** sine term. **xf** | *ὡς* om. **mgS** *μὲν* **V** | *σωκράτει* **V** *ἰσοκράτ* **x** *ἰσοκράτη* **L** ‖ 221 *τὸν – οἶκον* om. **x** ‖ 222 *πάνυ* del. Sch. ‖ 228 l. *ἀπαγγειλάτω* **m** | *παραφραστικῶς* **a** | *καταγορείτω* **m** ‖ 229 ⟨*κατα*⟩*δίκης* **L** ‖ 231 l. addidi ‖ 232 l. om. **mx** | *δ' ἔτι*] *νόμον* Fr. | *ἔτι*] *ὅτι* **aV** | ⟨*ὑμεῖς δὲ*⟩ *ἡ* **a** | *ἡ σύνταξις* om. **L** | *καινὸν*] *καὶ* **a** ‖ 234 l. om. **gxLSf** | *προενομοθετήσατε* **Vf** ‖ 235 *τὸ καλὸν* del. Fr. | *οὐ* om. **V** | ⟨*καὶ*⟩ *οὐ* (*γὰρ* om.) *διὰ τίμ.* post 236 *ἦν* **x** ‖ 237 l. addidi | *ἀντὶ τοῦ*] *ἤγουν* **a** | *τάξησθε* **a** ‖ 238 l. om. **gxS** | *οὓς*] *οὐδὲ* **L** ‖ 239 *καὶ μηκέτι* bis **L** | *φέρειν* ⟨*μόνοι*⟩ **L** ‖ 241 l. om. **g** ‖ 242 l. om. **agxS** | *βούλομαι δ'* del. Fr. ‖ 243 *τὸν τρόπον* **VS** ‖ 245 l. om. **xS** | *χρῆσθαι* om. **VS** | *αὐτῇ* praeb. post *χρῆσθαι* **mg** | *αὐτῷ* Fr. ‖ 246 *ἀναγγεῖλαι* **VS** *ἀναγγέλει* **L**

τες. τὸ δ' αὐτὸ καὶ μετὰ τὰ πράγματα λεχθὲν ἐπιδιόρθωσις καλεῖται. πληρώσας τὸ νομικὸν ζήτημα τῷ τῆς παραγραφῆς εἰσβάλλει εἰς τὸ στοχαστικόν, εἰ ἠταίρησεν. amgVxLS

in or. 1, 38 **80** *⟨εἰπεῖν ὡς αὐτὸς βούλεται⟩] ἀντὶ τοῦ 'σωφρόνως'.* aVxLSf 250

81 *⟨εὐλαβήσομαι⟩] φυλάξομαι.* aVLS

in or. 1, 39 **82** *τῶν τριάκοντα] οἱ τριάκοντα τύραννοι διὰ Λακεδαιμονίων κατασταθέντες καὶ τὴν πάτριον πολιτείαν τῶν Ἀθηναίων καταλύσαντες ἐλυμήναντο καὶ τοὺς Δράκοντος καὶ τοὺς Σόλωνος νόμους. ἀπολαβὼν οὖν ὁ δῆμος τὴν ἐλευθερίαν εἵλετο πολίτας εἴκοσι τοὺς ζητήσοντας καὶ ἀνα-* 255 *γράψοντας τοὺς διεφθαρμένους τῶν νόμων. καὶ ἐψηφίσαντο καινοὺς νόμους εἰσφέρειν ἀντὶ τῶν ἀπολωλότων ἐπ' ἄρχοντος Εὐκλείδου, ὃς πρῶτος ἦρξε μετὰ τοὺς τριάκοντα. πολλὰ μέντοι καὶ δεινὰ ἔπραξαν οἱ τριάκοντα· τόν τε γὰρ δῆμον ἐξέβαλον καὶ τῶν ἐπιφανῶν τοὺς μὲν ἐβασάνισαν, τοὺς δὲ ἐφυγάδευσαν ἀφελόμενοι τὴν οὐσίαν αὐτῶν, τοὺς* 260 *δὲ ἀπέκτειναν ἀκρίτους, ὡς μὲν ἔνιοί φασιν, φʹ καὶ ,α, ὡς δὲ Λυσίας ἐν τῷ κατὰ ⟨***⟩ δοκιμασίας ἐπιλόγῳ, δισχιλίους φʹ. †γεγόνασι μέντοι πλείους αἱρέσει τῶν πεντήκοντα. οἵ τε γὰρ ἐν ἄστει δικασταὶ τριάκοντα ἦσαν καὶ ἐκ τῶν πλουσίων τριάκοντα ᾑρέθησαν ὀβολοστάται, ὅ ἐστι δανεισταὶ ἐπὶ ὀβολῷ τὴν μνᾶν δανείζοντες.* 265

Δεῖγμα δὲ τῆς τῶν τριάκοντα πολιτείας καὶ τόδε ἐστίν. Κριτίου γὰρ ἑνὸς τῶν τριάκοντα ἀποθανόντος ἐπέστησαν τῷ μνήματι Ὀλιγαρχίαν δᾷδα κατέχουσαν καὶ ὑφάπτουσαν Δημοκρατίαν καὶ ἐπέγραψαν τάδε·

μνῆμα τόδ' ἔστ' ἀνδρῶν ἀγαθῶν, οἳ τὸν κατάρατον
δῆμον Ἀθηναίων ὀλίγον χρόνον ὕβριος ἔσχον. 270

251 Moer. 196,2; Ba. 240,27; S. ε 3556; Ph. s.v.; Z. 920; Thom. 149,10 || 252 Isoc. 7,67; X. Hell. 2,3 sq.; Arist. Ath. 35,2; D. S. 14,32 sq. || 257 *Εὐκλείδου*] D. 24,42; schol. D. 24,42,104 || 264 *ὀβολοστάται*] Hyperid. fr. 154 Jens. (= Harp. s.v.); Poll. 3,85; Hes. *ο* 22; S. *ο* 9; Ph. s.v.; Vind. *ο* 2; An. Ox. 2,497,12 || 266 = Vorsokr. 88 A 13

247 *τά* om. **x** | *λεχθέντα* **L** || 248 *πληρώσας* – 249 *ἠταίρησεν* om. **S** || 248 *νόμιμον* Fr. | *τῷ* Sau. *τὸ* **amgxL** *τὰ* **V** || 249 *στοχιακόν* **m** (-*χεια*- **g**) **g** || 250 l. add. Sch. | *ἀντὶ τοῦ*] *ἤγουν* **x** || 251 l. add. Sch. || 252 l. om. **gx** || 254 *καί*[1] om. **mg** | *τούς*[2] om. **amgx** | *οὖν* om. **V** || 256 *καινοὺς* Rei. *καὶ* **amgVxS** om. **L** || 257 *νόμον* **xL** | *ἐπ'* Rei. *ὑπὸ* codd. || 259 *τε* om. **x** | *καὶ* – 260 *ἐφυγάδευσαν* om. **am**[ac] || 260 *ἐφυγάδευσαν* Rei. *ἐξέβαλον* (-*λλ*- **x**) codd. | *ἀφελόμενος* **aV** || 260.261 *τοὺς δὲ* Rei. *καὶ* codd. || 261 *ἀκρίτως* codd., corr. Bk. | *αʹ* **S** *μʹ* **mg** || 262 *κατὰ* om. **V** | lac. indic. B.S. ⟨*Εὐάνδρου*⟩ Sau. ⟨*Φίλωνος*⟩ Fr. | *γεγόνασι* – 265 *δανείζοντες* susp. B.S. || 268 *αἱρέσεις* **aVxLS** || 265 *δανείζονται* **L** sine term. **x** || 266 *καὶ* om. **L** | *κριτίας* **VS** || 268 *καί*[2] om. **L** | *ἐπέγραψε* **VS** *ἐνέγραψε* **xL** || 270 ⟨*τῶν*⟩ *ἀθηναίων* **x** | *ὕβριν* **V**

οὕτω μέντοι ἐμίσησεν ὁ δῆμος τοὺς τριάκοντα ὥστε καὶ πρὸς τὴν ὀνομασίαν τοῦ ἀριθμοῦ δυσχεραίνειν. ἄρξαντος οὖν Εὐκλείδου μετὰ τὴν τῶν τριάκοντα κατάλυσιν τὰ πρὸς αὐτῶν πραχθέντα ἄκυρα εἶναι ἐψηφίσαντο οἱ Ἀθηναῖοι.

275 *Ἄλλως· οἱ τριάκοντα τύραννοι μετὰ τὸν Πελοποννησιακὸν πόλεμον γενόμενοι Ἀθήνησιν ἐπειδὴ καθηρέθησαν, Θρασυβούλου τοῦ ἀπὸ Φυλῆς ἀγωνισαμένου, ψήφισμα ἐτέθη ἀμνησικακεῖν τῶν ὑπαρξάντων ἐπ' αὐτῶν. 'ὥσπερ οὖν τὰ ἐπὶ τούτων ἀνεξέταστα, οὕτω καὶ τὰ ἔτι παιδὶ πραχθέντα Τιμάρχῳ παρίημι' φησίν.* amgVxLS

280 **83** *πρὸ Εὐκλείδου] Εὔμηλος ὁ περιπατητικὸς ἐν τῷ τρίτῳ περὶ τῆς ἀρχαίας κωμῳδίας φησὶ Νικομένη τινὰ ψήφισμα θέσθαι μηδένα τῶν μετ' Εὐκλείδην ἄρχοντα μετέχειν τῆς πόλεως, ἂν μὴ ἄμφω τοὺς γονέας ἀστοὺς ἐπιδείξηται, τοὺς δὲ πρὸ Εὐκλείδου ἀνεξετάστους ἀφεῖσθαι.* amgVxLS

285 **84** *ἢ εἴ τις ἄλλη] ὡς εἴ τις ἔγραψε τοὺς ἀπὸ τοῦδε τοῦ ἄρχοντος ἐν τῷ δημοσίῳ ἄρξαντας εἰσπράττεσθαι.* amgVxLS

85 *προθεσμία] καταχρηστικῶς ἀντὶ τοῦ 'χρόνος'.* af

86 *⟨οὗτος γὰρ⟩] ἐνταῦθα τὰ ἀπ' ἀρχῆς ἄχρι τέλους.* aL — in or. 1,40

87 *ἐχρήσαντο τῷ σώματι] προσυπακουστέον τὸ 'ἅπαξ'.* VLf

290 **88** *δαιμονίως] ἀντὶ τοῦ 'μεγάλως'.* VxLf — in or. 1,41

89a *⟨κιθαρῳδοὺς ἢ κιθαριστὰς⟩] κιθαριστὴς ὁ κιθάρᾳ μόνῃ διὰ χειρῶν κεχρημένος, κιθαρῳδὸς δὲ λέγεται ὁ μετὰ τῆς κιθάρας καὶ τῇ ᾠδῇ χρώμενος.* f

89b *κιθαρῳδοὺς ἢ κιθαριστάς] διαφέρει κιθαρῳδὸς καὶ κιθαριστὴς τῷ*

295 *τὸν μὲν κιθαριστὴν κεχρῆσθαι τῇ κιθάρᾳ μόνον, τὸν δὲ κιθαρῳδὸν*

281 *Νικομένη*] cf. D. 57,30; Isoc. 6,47. 8,43; Arist. Ath. 26,4. 1278 a 29; Plu. Per. 37; Ael. VH 6,10. 13,24, fr. 68 He. ‖ 290 Ba. 188,1 ‖ 291. 294 *κιθαριστὴς*] cf. Ammon. 271 ‖ 292. 294 *κιθαρῳδὸς*] Ammon. 271; Ba. 2,378,32

273 *τῶν τριάκοντα* om. **L** | *πρὸς* Fr. *πρὸ* codd. | *εἶναι* om. **xL** ‖ 274 *οἱ* om. **S** ‖ 275 *ἄλλως* om. **mg** *εἰς τὸ αὐτὸ* **a** ‖ 276 *γενόμενοι πόλεμον* **amgVS** ‖ 277 *ὑπα* (fen.) **L** ‖ 278 *οὖν* – 279 *φησίν* om. **S** | *ἀνεξέταστα ⟨καὶ ἀνέγκλητα ἐγένετο⟩* Rei. | *ἔτι* Schei. *ἐν* codd. | *παιδὶ ⟨ὄντι⟩* Rei. ‖ 279 *τιμάρχου* **aL** sine term. **Vx** | *ἀφίημι* **x** ‖ 280 l. om. **xS** | ⟨ἃ⟩ *εὔμηλος* **S** | *Εὔμηλος*] *εὐκλείδης* **m**[mg] fort. recte, vide RE s.v. Eukleides 6 (6^1, 1907, 1003) | *ἀρχαίας*] *ἀρχῆς* **S** ‖ 281 *νηκωμένη* **a** *νικωμένη* **mgVS** om. (in fen.) **x** *νικ* (fen.) **L**, corr. Meineke, cf. I 8 et 449 | *τινὰ* om. **L** | *ψηφίσματα* **VxS** ‖ 283 *ἀστοὺς* Bk. *αὐτοῦ* codd. | *ἐπιδείκνυται* **V** | *ἀνεξετάστως* **m** ‖ 285 l. om. **xLS** 1,40 *ἢ τῶν πολιτῶν* **g** ‖ 287 l. om. **f** ‖ 288 l. add. Rei. | *ἐντεῦθεν* Sch. ‖ 289 l. om. **VL** ‖ 290 l. om. **VLf** | *ἀντὶ τοῦ* om. **x** ‖ 291 l. add. Di. ‖ 292 *κιθαρῳδῶς* **f**, corr. Di. ‖ 294 l. om. **x** *ἔχειν εἰωθὼς* **g** | *τῷ*] *τὸ* **x** ‖ 295 *τὸν*[1]] *τῶν* **V** *τὸ* **S** | *τὴν κιθάραν* **V**

μετὰ τῶν χειρῶν καὶ τῇ φωνῇ· διὸ καὶ κιθαρῳδὸς λέγεται παρὰ τὸ κεχρῆσθαι τῇ κιθάρᾳ σὺν τῇ ᾠδῇ. κιθαρῳδὸς ὁ καὶ ᾄδων καλῶς, κιθαριστὴς δὲ ὁ χωρὶς ᾠδῆς. amgVxLS

90 *ἀνέστησεν*] *ὡς νῦν λέγομεν 'ἀνεκάθισεν'. καὶ Δημοσθένης* (18, 129) *'ἀνέστησεν αὐτὴν ἀπὸ τῆς καλῆς ἐργασίας'.* amgVxLSf 300

91 ⟨*βδελυρὸν*⟩] *ἀκάθαρτον, μισητόν.* VL

in or. 1, 42 **92** *οὐδενὸς ὢν τῶν μετρίων*] *ἵνα μή τις οἰήσηται δι' ἔνδειαν αὐτὸν πεπορνεῦσθαι, ὅπερ συγγνώμης ἦν.* amgVxL

93 ⟨*ὡραῖος ὢν*⟩] *πάντα ταῦτα μετὰ αὐξήσεως ὁ ῥήτωρ.* xL

in or. 1, 43 **94** ⟨*ἦν μὲν*⟩] *ἄλλο ἀπ' ἀρχῆς ἄχρι τέλους.* axL 305

95 *Διονυσίων*] *Διονύσια ἑορτὴ Ἀθήνησιν Διονύσῳ ἤγετο, τὰ μὲν κατ' ἀγροὺς μηνὸς Ποσειδεῶνος, τὰ δὲ Λήναια μηνὸς Ληναιῶνος, τὰ δ' ἐν ἄστει μηνὸς Ἐλαφηβολιῶνος. Διονυσιάδες δὲ ἐν Σπάρτῃ παρθένοι, αἱ ἐν τοῖς Διονυσίοις δρόμον ἀγωνιζόμεναι.* amgVxL

96 ⟨*ὁ τοῦτον ἀνειληφὼς*⟩] *πάλιν ὁ τοῦτον ἀνακαθίσας.* Sf 310

in or. 1, 44 **97** *ᾗ δὴ*] *ἀντὶ τοῦ 'δι' ἃ δή'.* axf

in or. 1, 45 **98** *ἐν δικαστηρίῳ*] *ἔνθα χρεία ἐστὶν ἀποδείξεως διὰ μαρτυριῶν.* amgVxLf

99 *γέγραφα*] *γράφουσι μαρτυρίας οἱ βουλόμενοι μάρτυρας παρασχέσθαι προκλητικὰς αὐτῶν, οἷον 'τὸν δεῖνα τόδε πραχθὲν ἀκριβῶς γινώσκοντα ἀξιῶ μαρτυρεῖν τοῖς δικασταῖς'. ἂν μὲν οὖν μὴ ὑπακούσῃ τῇ μαρτυρίᾳ, ἀλλὰ θελήσῃ ἔκκλητος γενέσθαι, ὀφείλει δραχμὰς χιλίας· ἐὰν δὲ ὑπακούσῃ, ἤτοι ἀληθῆ φησιν εἶναι, ἤ, εἴπερ ἀμφίλεκτα, ἐξόμνυται οὐκ εἰδέναι τὰ ἀξιούμενα.* amgVxL 315

299 Σ^b mg ‖ **301** Hes. *β* 387; Bk. 219,32; Z. 380 ‖ **306** Bk. 235,6; Hes. *δ* 1887; S. *δ* 1168; schol. Pl. Resp. 475 d ‖ **308** *Διονυσιάδες*] Hes. *δ* 1888

296 ⟨*καὶ τῇ ᾠδῇ*⟩ *καὶ*[1] **g** ‖ **297** *κιθάρᾳ* ⟨*καὶ*⟩ **mg** | *σὺν* transp. post *κεχρῆσθαι* **mg** ‖ **299** l. om. **gxLSf** | *καὶ*] *ὁ* **L** | *Δημοσθένης*] *δηλονότι* **S** *δη* **f** ‖ **300** *ἀνέστησεν* ⟨*ἂν*⟩ **amgVxL** | *αὐτὸν* **amgVxLS** | ⟨*ταύτης*⟩ *τῆς* D[t] ‖ **301** l. add. Sch. ‖ **302** l. om. **agxL** | *ὢν τῶν* del. Fr. | *οἰήσεται* **xL** ‖ **304** l. add. Sch. | *ταῦτα* om. **L** | *ὁ ῥήτωρ* om. **x** ‖ **305** l. add. Rei. | *ἄλλο* Rei. *ἀλλὰ* **aL** *τὰ* **x** *ἄλλα* B.S. | *μέχρι* Sch. ‖ **306** l. om. **gx** | *Διονύσια*] *διονυσίῳ* **xL** | *παρ' Ἀθηναίοις* Suda | *Διονύσῳ*] *διονυσίων* **m** *-σίῳ* **aVx** om. **L** *Διονύσου* Bk. | *ἤγετο* ⟨*δὲ*⟩ Bk. ‖ **306.307** *κατὰ γρούς* **V** ‖ **307** *ποσιδεῶνος* **gL** | *ληνναιῶνα* **m**[ac] *λησαιῶνος* **V** *ληναιᾶνος* **L**[pc] *Γαμηλιῶνος* Bk. ‖ **308** *ἐλαφιβολιῶνος* **V** ‖ **310** l. addidi ex **S**[t] et **f**[t] | *τοῦτον*] *τοιοῦτον* Di. ‖ **311** l. om. **af** | *διὸ* **a** ‖ **312** l. om. **xf** (ad 1,44 *μαρτυρίαν* **f** per posit.) *ἐπειδὴ – ἐσμὲν* Fr. | *ἀποδείξεως – μαρτυριῶν*] *μαρτυριῶν ἀποδείξεως* **amgxL** *μαρτυρεῖ ἀποδείξεως* **V** ⟨*τῆς διὰ*⟩ *μαρτυριῶν ἀποδείξεως* Rei. ‖ **314** l. om. **x** ‖ **315** *αὐτῶν*] *ἑαυτοῦ* **x** ‖ **316** *ταῖς* **V** | *μὲν – μὴ*] *μὴ οὖν* **mg** | *ὑπακούσει* **L**[ac] *ὑπακούσῃ* ⟨*μου*⟩ **mg** ‖ **317** *θέλῃ* **m**[ac] | *ἔκκλητος*] *ἐκτὸς* **mg**, cf. 1,46,102c ‖ **318** *δὲ* om. **x** | *ἀναμφιλέκτως* codd., corr. Sau.

320 **100** *αὐτὸ μὲν γὰρ τοὔνομα*] *οὐ γὰρ ἀπῄτει αὐτὸν μαρτυρεῖν εἰ παρ' αὐτῷ ἡταίρηκεν, ἀλλ' εἰ μετ' αὐτοῦ διέτριβεν. καὶ τί τοῦτο ἤμελλε συνοίσειν περὶ τὴν ἀπόδειξιν; λέγομεν οὖν ὅτι ὑποπτευομένου τοῦ Μισγόλα ἤρκει τοῦτο εἰπεῖν, ὅτι μετ' ἐμοῦ διέτριβεν.* amgVxL

101 *οὐκ ἐγγράφω*] *ὅτι ἔγραφέ τις αὐτὸ τὸ πρᾶγμα, λέγων ὅτι 'μαρτυ-*
325 *ρεῖ μοι ὅδε'. καὶ ἐδείκνυεν αὐτὸ τῷ μάρτυρι λέγων ὅτι 'μαρτυρεῖς τόδε;'. εἶτα εἰ μὲν ἔλεγεν ὅτι 'ναί', ἔγραφεν αὐτὸς ὁ μάρτυς ὅτι 'ναὶ μαρτυρῶ'· εἰ δὲ μή, οὐδὲν ἔγραφεν.* amgVxLSf

102a *ἐκκλητευθῆναι*] *ὑπὸ τοῦ κήρυκος κληθῆναι.* amgVxLf **102b** *τῶν ἐγκαταλιπόντων μαρτυρίαν τὰ ὀνόματα ἐν τῷ δήμῳ ἐκηρύσσετο,* (in or. 1,46)
330 *καὶ τοῦτο ἐκαλεῖτο ἐκκλητευθῆναι.* amgVxLSf **102c** *ἄλλως· εἰς κρίσιν ἀχθῆναι ἢ ἐπάναγκες μαρτυρῆσαι. κλήτορες δὲ οἱ μάρτυρες. τὸ οὖν ἐκκλητευθῆναί ἐστιν ἔξω τοῦ μαρτυρῆσαι, καὶ ἔκκλητος ὁ θελήσας ὀφλεῖν ἐπὶ τῷ μὴ μαρτυρῆσαι.* amgVxL

103 *χιλίας*] *ἐὰν μὴ ὑπακούσῃ πρὸς τὴν μαρτυρίαν, ὡς τούτου ἐπιτιμίου*
335 *ὡρισμένου τοῖς μὴ ὑπακούσασιν.* amgVxL

104 ⟨*ἑταίροις*⟩] *κιναίδοις.* VxLf (in or. 1,47)

105a *εἰς ἑαυτὸν ἐξαμαρτήσεται*] *διὰ τὴν ἐπιορκίαν δηλονότι.* amgVxL

105b *ἐπιορκῶν.* a.

106 *πρᾶγμα*] *τὸ ἑτέραν μαρτυρίαν ἐπιζητεῖν.* amgVxL

340 **107** *τοὺς ἐμαυτοῦ φίλους*] *ἐπειδὴ αἱ παρὰ τῶν φίλων μαρτυρίαι οὐκ εἰσὶν ἀξιόπιστοι· πολλάκις γὰρ ὑπ' εὐνοίας κινούμενοι, ἵνα τοῖς φίλοις βοηθήσωσι, καὶ ψευδομαρτυροῦσιν.* mg

108 *βούλομαι δὲ κἀκεῖνο προειπεῖν*] *λυποῦντος ἀναίρεσις. λυπεῖ γὰρ Αἰσχίνην τὸ μὴ φαίνεσθαι πρεσβύτερον τὸν Μισγόλαν. φοβεῖται γὰρ* (in or. 1,49)
345 *μὴ διὰ τοῦτο δόξῃ ψευδὴς εἶναι ἡ φήμη.* amgVxL

328 (102 a) Lex. Pat. ad D. 18,150; Lex. Pat. ad Aeschin. 1,46 | (102 b) Bk. 188,28; S. ε 474; Z. 667 || 330 (102 c) Harp. s. v. *ἐκκλητεύειν*; S. ε 473; E. M. 322,40; Z. 667 || 331 *κλήτορες*] Hes. κ 2984; cf. Tim. s. vv. *κλητῆρες* et *λήξεις*; Ba. 279,8; S. κ 1795; Lex. Pat. ad D. 21,87. 18,55

320 *αὐτὸ*] *αὐτοῦ* **V** | *εἴ*⟨*περ*⟩ *παρ'* **mg** || 321 *ἔμελλε* **x** || 322 *περὶ*] *πρὸς* vel (*περὶ* deleto) *τῇ ἀποδείξῃ* Rei. | *ὅτι* om. **L** || 324 l. om. **S** *μαρτυρίαν* **f** | *ἐγγράφων* **L** || 325 *ὅσδε* **Sf** | *αὐτὸ*] *αὐτῷ* **VxLSf** | *μαρτυρεῖς*] *μαρτυρεῖ* ⟨*μοι*⟩ **mg** || 326 *τῶδε* **Sf** | *ναί*[2]] *καὶ* **V** || 328 l. om. **f** | *κληθῆναι*] *κλητευθῆναι* **m** || 329 *ἐγκαταλειπόντων* **x** | ⟨*τὴν*⟩ *μαρτυρίαν* Bk. | *μαρτύρων* **mg** | *κηρύσσεται* codd. et Suda, corr. B.S. ex Bk. || 330 *ἄλλως* om. **mg** | ⟨*τὸ*⟩ *εἰς* Suda || 331 *ἄγειν* Suda | *ἐπ' ἀνάγκαις* **amgVL** || 332 *τοῦ* – 333 *μαρτυρῆσαι* om. **V** || 333 *τῷ*] *τὸ* **x** | *μαρτυρήσαντι* **m** *μαρτυρῆσαί* ⟨*τι*⟩ Fr. || 334 l. om. **x** | *ἐπακούσῃ* **amgVx** || 336 l. addidi | *κινδύνοις* **xL** || 337 l. om. **a** *πρῶτον μὲν* **L** | *δηλονότι*] *δηλοῖ* **mgL** || 339 l. om. **ag** || 340 l. om. **g** | *οὐκ* om. **g** || 342 *βοηθήσωσι*] *μαρτυρήσωσι* **g** || 343 l. om. **g** | *δὲ κἀκεῖνο* del. Fr. | *προειπεῖν* om. in fen. **V** | ⟨*τοῦ*⟩ *λυποῦντος* Fr. || 344 *αἰσχύνην* **m**

109a *προφερεῖς*] *προβεβηκότες ἐν τῷ εἴδει, προπόλιοι.* amVxLSf
109b *προφερεῖς*] *προφερὴς ὁ νέος μὲν ὤν, πρεσβύτερος δὲ φαινόμενος. τὸ δ' ἐναντίον σκληφρός, ὃς πρεσβύτερος ὢν νέος δοκεῖ. οὕτω καὶ Πλάτων* (Euthyd. 271B) *ταῖς λέξεσιν ἐχρήσατο. 'ἦν γάρ', φησίν, 'ὁ μὲν προφερής, ὁ δὲ σκληφρός', περί τινων δύο διηγούμενος. δῆλον δὲ* 350 *καὶ ὡς οὐ καλῶς τῷ 'προφερεῖς' ὁ Αἰσχίνης ἐχρήσατο, προσθεὶς τῷ 'νέοι ὄντες' καὶ τὸ 'πρεσβύτεροι'· ἤρκει γὰρ μόνον τὸ 'προφερεῖς' πάντα δηλῶσαι.* mg

in or. 1, 51 **110** *οὐκ ἂν ὤκνησα αὐτὸν*] *οὐκ ἂν ηὐλαβήθην αὐτόν.* amgVxL
111 *παρρησιάζεται*] *σαφῶς λέγει.* amgVxLf 355
112 *τούτῳ ἔνοχος εἶναι*] *τῷ ἡταιρηκέναι πρὸς ἕνα.* amgVxL

in or. 1, 52 **113** *ὑπερβαίνων*] *ἀντὶ τοῦ 'μὴ ὀνομάζων τοὺς πρὸς ἅπαξ αὐτῷ χρησαμένους'. ἀγρίους δέ φησι τοὺς σφόδρα κιναιδοποιούς.* amgVxLSf
114 *τοὺς ἀγρίους*] *τοὺς μὴ ἐν τῷ ἄστει, ἀλλ' ἐν ἀγρῷ διατρίβοντας.* amgVxL 360
115 *Κηδωνίδην*] *οὗτοι παιδερασταί, ἐπωνυμίας ἔχοντες 'ἄγριοι καὶ Τριβαλλοὶ καὶ Κένταυροι'.* amgVxL
116 ⟨*καὶ πάλιν παρ' ἄλλῳ*⟩] *σημείωσαι τὴν παραπλοκήν.* g
117 *μόνον ἡταιρηκὼς*] *διαφορὰν εἶπεν ἡταιρηκότος πρὸς πόρνον. τὸν μὲν οὖν ὑφ' ἑνὸς καταισχυνθέντα ἡταιρηκέναι φησί, τὸν δὲ ὑπὸ* 365 *πολλῶν πεπορνεῦσθαι.* amgVxL
118 ⟨*εἰκῇ*⟩] *ἀνοίᾳ.* L

in or. 1, 53 **119** *τῇ τε δαπάνῃ ἀπεῖπε*] *ἐπειδὴ βούλεται αὐτὸν καὶ τὰ πατρῷα κατεδηδοκότα ἐπιδεῖξαι, θαυμαστῶς πάνυ τοῦτο προοικονομεῖ λέγων αὐτὸν πολυτελῆ εἶναι.* amgVxL 370

346 Σ[b] mg (Ba. 352,4) ‖ 347 Poll. 2,10; schol. Pl. Euthydem. 271 b; An. Ox. 2,499,3; Hes. π 4067; Harp. s. v. *προφερεῖς*; S. π 2920; Ph. s. v.; E. M. 699,55; schol. Luc. 286,16 ‖ 348 *σκληφρός*] Poll. 2,10; schol. Pl. Euthydem. 271 b; schol. Luc. 282,15 ‖ 354 Poll. 3,137. 5,122; Hes. ο 478; cf. Ph. s.v. *ὀκνεῖ* ‖ 355 Σ[b] mg (Ba. 333,5) ‖ 358 *ἀγρίους*] cf. Harp. s. v.; S. α 360; Ph. α 260; Ba. 17,10. 25,10; Bk. 200,21 ‖ 364 schol. Aeschin. 1,29,67

346 schol. del. **m**[pc] | l. om. **aLf** | *εἴδει*] *ἰδεῖν* **Sf** | *προπόλιοι* om. **Sf** transp. ante *προβεβηκότες* **L** ‖ 347 l. om. **g** ‖ 349 *φησίν* om. **g** ‖ 350 *περί – διηγούμενος* om. **m**[ac] ‖ 351 *προφερὴς* **g** | *τῷ*] *τὸ* **m** ‖ 354 l. om. **gL** | *ὤκνησα*] *ὤμνησα* **V** | *οὐκ ἂν*[2] et *αὐτόν*[2] om. **L** ‖ 355 l. om. **agxLf** (111 et 112 ut unum schol. praeb. **axL**) ‖ 356 l. om. **gxL** ⟨*αὐτῷ μοι δοκεῖ*⟩ *τούτῳ* **a** *αὐτῷ τούτῳ* B.S. *ἡταιρηκέναι* Rei. | *τῷ*] *τὸ* **axL** ‖ 357 l. om. **gxf** *τοὺς ἀγρίους* Di. ‖ 359 l. om. **Vx** | ⟨*τῷ*⟩ *ἀγρῷ* **g** ‖ 361 l. om. **Vx** ‖ 362 *τριβαλοὶ* **mg** | *κένταρχοι* codd., corr. Rei. ‖ 363 l. addidi ‖ 364 l. om. **x** ‖ 365 *καταρχυνθέντα* **L** | *ὑπὸ πολλῶν*] *ἐν πολλοῖς* **x** *ὑπὲρ πολλῶν* **L** ‖ 367 l. add. Sch. ‖ 368 l. om. **x** ‖ 369 *πάνυ τοῦτο* bis **g**

120 *μετὰ τοῦτον*] *ἄλλο ἀπ' ἀρχῆς ἄχρι τέλους.* **aVL**
121 *Σάμῳ*] *εἰς Σάμον κληρούχους ἔπεμψαν Ἀθηναῖοι ἐπ' ἄρχοντος Ἀθήνησι Νικοφήμου.* **amgVxL**
122 *⟨ὡς γὰρ ἀπηλλάγη⟩*] *ἄλλο ἀπ' ἀρχῆς μέχρι τέλους.* **V**
375 **123** *κυβείῳ*] *κυβεῖον λέγεται ὁ τόπος ἔνθα συνέρχονται οἱ κυβεύοντες, ὃ νῦν καλοῦσί τινες ταβλιστήριον.* **amgVxLSf** (→ 124b ad init.)
124a *τηλία*] *τηλία δὲ σανίδιόν τι περιπεφραγμένον πανταχόθεν εἰς ὃ ἐνέβαλλον ἢ ἀλεκτρυόνας ἢ ὄρτυγας μάχεσθαι. καὶ τὸν ὑπερπηδῶντα αὐτῶν τὰ περιφράγματα ἔλεγον ἡττᾶσθαι.* **amgVxLSf** **124b** *ἰδίως*
380 *δὲ εἶπεν κυβεῖον· οὐ γὰρ οὕτως ἐκάλουν, ἀλλὰ σκιραφεῖον. ἡ τηλία ἐστὶν ἐφ' ἧς τὰ ἄλευρα ἐκάθαιρον. ἐχρῶντο δ' αὐτῇ οἱ κυβεύοντες καὶ πρὸς τὸ βάλλειν τοὺς κύβους καὶ πρὸς τὸ συμβάλλειν τοὺς ὄρτυγας καὶ τοὺς ἀλεκτρυόνας. ἢ σήλιόν ἐστιν ἡ τηλία, ἐφ' οὗ μάττεται τὰ ἄλευρα.* **amgVxLS**
385 **125** *⟨ὑπὸ δὲ⟩*] *ἄλλο ἀπ' ἀρχῆς ἄχρι τέλους.* **aV** in or. 1, 55
126 *περὶ οὗ πάλαι*] *οὐχ ἁπλῶς διαβάλλει τοῦτον τὸν Ἡγήσανδρον ὁ Αἰσχίνης, ἀλλ' ἐπειδὴ ἀδελφός ἐστιν Ἡγησίππου τοῦ μισοφιλίππου.* **amgVxLSf**
127 *Τιμομάχῳ*] *τοῦ Τιμομάχου τούτου τοῦ στρατηγοῦ Ἀθηναῖοι θά-* in or. 1, 56
390 *νατον κατέγνωσαν καὶ ἀνηρέθη.* **amgVxLS**
128 *ἀπολελαυκὼς*] *πολλὰ ὑφῃρημένος αὐτοῦ διὰ τὴν ἐκείνου δειλότητα καὶ μωρίαν.* **amgVxL**
129 *εὐηθείας*] *'εὐηθείας' διότι λέγων κεχορηγηκέναι αὐτῷ τῷ στρα-*

372 cf. IG II nr. 1347 ‖ 375 Σ^b mg (Ba. 284,1); Hes. *κ* 4362 ‖ 377 Poll. 9,108; Σ^b mg (Ba. 386,30); S. *τ* 497; Ph. s. v.; Bk. 307,31; Et. Gen.; E. M. 756,56 ‖ 380 *σκιραφεῖον*] Poll. 9,96; Ba. 366,15; S. *σ* 620; Ph. s. v. ‖ 382 *καὶ* – 383 *ἀλεκτρυόνας*] Lex. Pat. ad Aeschin. 1,53 ‖ 389 D. 19,180; Hyp. 3,1–2; M. H. Hansen, Eisangelia, Odense 1975, no. 9

371 l. om. **VL** | *ἄλλα* **aV** et B.S. *ἀλλὰ* **L**, corr. Di. | *μέχρι* **VL**, cf. 1,40,86. 43,94. 55,128 ‖ 372 l. om. **x** ‖ 374 l. add. Sch. | *ἄλλα* **V**, corr. Sch. ‖ 375 l. om. **gxf** | *κυβεῖον λέγεται* om. Ba. | *λέγει τὸν τόπον* **Sf** ‖ 376 *ταβληστήριον* **mgx** *ταυληστήριον* **a** (-*λιστ*- **VL**) **VL** ‖ 377 l. om. **g** et **aVxLSf** qui hoc schol. una cum 1,53,123 praebb. | *τηλία*[2]] *τηλίαν* **Sf** | *δὲ* om. **mg** | *τι* om. **L** | *περιφραγμένον* **m**[ac] | *πάντοθεν* **amgVxL** ‖ 378 *ἐνέβαλον* **gVLf** | *ὑπερπηδόντα* **V** ‖ 380 *σκιρραφεῖον* **L** ‖ 381 *ἧς*] *ἧ* **mg** | *αὐτοὶ* **m** ‖ 382 *συμβάλλειν* Sau *βάλλειν* codd. ‖ 383 *σήλιόν*] *σκύτιόν* **g** *σήνιόν* **aVxLS** | *ὧν* **S** ‖ 383.384 *τὸν ἄλευρον* **V** ‖ 385 l. add. Rei | *ἄλλα* **aV**, corr. Di. | *μέχρι* **V** ‖ 386 l. om. **gxSf** ‖ 386.387 *αἰσχίνης τὸν ἡγήσανδρον* (*ὁ* omisso) **L** ‖ 389 l. om. **x** *ἔτυχε δὲ τότε* **amVL** | *Ἀθηναῖοι* om. **L** ‖ 391 l. om. **xL** *ἧκε δεῦρο* **g** et $\mathbf{g}^{\Sigma}$ | *ἀφῃρημένος* **mL** | *δεινότητα* codd., corr. Fr. ‖ 392 *καὶ μωρίαν* om. **L** *⟨τι⟩μωρίαν* **amg** ‖ 393 l. om. **f** | *εὐηθείας*[2] om. **Sf**

τηγῷ πολλά, ὀλίγα δὲ δοὺς τὰ πολλὰ ἐκέρδαινεν καὶ ἐχλεύαζεν αὐτὸν ὡς μωρόν. amgVxLSf 395

130 *Τιμομάχῳ τῆς συμφορᾶς] αἰτίαν γὰρ ἔσχεν ὡς προδοὺς Κότυϊ τὴν Χερρόνησον· κατεγνώσθη δὲ θανάτου. οὕτως ὁ Ἀπολλώνιος.* amg VxLSf

in or. 1, 57 **131** *⟨ἀφθονίᾳ⟩] τῇ εὐπορίᾳ τοῦ ἀργυρίου.* aVxL

132a *δεινὴ ἡ ἀκακία] ἀντὶ τοῦ 'φαύλη'. ἀκακία, ἁπλότης. εὐπιστία, εὐχέρεια εἰς τὸ πείθεσθαι.* amgVxLS 400

132b *μεγάλη.* f

133 *ἐξ αὐτῶν τούτων] 'ἐξ αὐτῶν' δὲ ἢ τῶν μισθωσαμένων ἢ ἀντὶ τοῦ 'διὰ ταῦτα'.* amgVxLS

in or. 1, 58 **134** *ὅτι δὲ αὐτοῖς ἠνώχλει] ἀντὶ τοῦ 'ἐπειδὴ δὲ αὐτοὺς ἠνώχλει'.* amgVxLf 405

in or. 1, 59 **135a** *ἀστραγάλους τέ τινας διασείστους] εἶδος ἀστραγάλων οὕτως ὑπὸ τῶν κυβευτῶν ὀνομαζομένων.* amgVxLS **135b** *ἀστραγάλους τέ τινας διασείστους] πολλάκις τινὲς κώδωνας ἀργυροῦς ἢ χαλκοῦς ἐξῆπτον ἔνδον αὐτῶν, ἵνα ἀφιέμενοι ἦχόν τινα ἀποτελῶσι καὶ τέρψιν ἐν τῇ παιδιᾷ. οὗτοι οὖν ἐλέγοντο διάσειστοι. 'φιμοὺς' δὲ ἀλλαχοῦ μὲν σημαίνει εἰς οὓς ἐμβάλλονται αἱ ψῆφοι, ἐνταῦθα δὲ ἃ νῦν καλοῦσιν οἱ κυβευταὶ πυργία.* amgVxLSf 410

136 *τὰς ἐξ ἀνθρώπων πληγὰς] ἢ τὰς ἀπολλύναι δυναμένας καὶ ἐξ ἀνθρώπων ποιούσας ἢ ἃς οὐ γινώσκουσιν ἄνθρωποι ἢ ἃς εἰκὸς ἀνθρώπους παρασχεῖν ἢ ὅσαι εἰσὶν ἐν ἀνθρώποις ἢ ὅσας ἄνθρωποι πλήττουσιν.* amgVxLS 415

in or. 1, 60 **137** *ἀνακηρυχθῇ] περιβόητος γένηται.* amgVxLS

400 *ἀκακία*[2]] Ba. 60,13; Ph. *α* 704; Z. 102; Bk. 80,11 || 402 (132 b) schol. Ar. Ran. 610; S. *δ* 331; schol. E. Ph. 355; schol. Luc. 88,24

394 *ὀλίγα – πολλὰ* om. **L** | *δὲ δοὺς – ἐχλεύαζεν* om. **m** | *δὲ δοὺς] διδοὺς* **agVx** || 396 l. om. **xf** | *τιμάρχῳ* **gL** del. Fr. | *προδιδοὺς* **mg** || 397 *κατεγνώσθη – Ἀπολλώνιος* om. **f** | *δὲ...οὕτως* Sau. *γὰρ...οὗτος* codd. || 399 l. add. Sch. | *⟨ἤγουν⟩ τῇ* Sch. || 400 l. om. **x** *ἀφθονίᾳ* **V** | *ἡ* om. **g** | *ἀκακία*[1]] *κακία* **S** | *ἀκακία*[2]] *κακία* **L** *αὐλακία* **V** || 403 l. om. **amgVxL** | *ἐξ αὐτῶν δὲ* om. **mg** | *αὐτῶν*[2]] *αὐτοῦ* **V** || 405 l. om. **xLf** | *δὲ αὐτοῖς* del. Fr. | *ἐπειδὰν* **f** | *δὲ*[2] om. **L** | *αὐτὸν* **V** *αὐτοῖς* **af** | *ἠνώχλει* om. **f** || 407 135a post 135b **L** | l. om. **xL** *ἀστραγάλους* reliqq. codd.[ps] || 407 l. om. **xf** *διασείστους* reliqq. codd.[ps] || 409 *ἄργυρον* **xL** sine term. **V** | *ἐξῆπτον* post *ἀργυροῦς* **amgVxLS** | *⟨ἤγουν⟩ ἔνδον* **aVxf** | *ἔνδον] ἢ* **L** || 410 *αὐτῶν] ταὐτῶν* **L** | *ἦχόν] εἶχόν* **x** || 411 *φιμὰς* **mg** || 412 *αἱ] οἱ* **L** | *αἱ ψῆφοι] σημαίνει* **g** || 414 l. om. **x** *ἐμαστίγουν* **g** | *ἀπολύναι* **mL** *ἀπολῦσαι* **V** *ἀπολλῦσθαι* **S** | *ἐξ ἀνθρώπων* del. Fr. || 415 *ποιούσας ⟨ἢ ἃς ποιούσας⟩* **L** | *⟨οἱ⟩ ἄνθρωποι* **mg** || 416 *ἢ*[1] *– ἀνθρώποις* om. **L** || 418 l. om. **xL** *αἰσθέσθαι* **g** | *⟨γε⟩γένηται* **x**

138 *ἐπῄει δὲ ἐκκλησία*] *ἐπήρχετο, σύνεγγυς ἦν. γίνονται δὲ ἐκκλησίαι*
420 *τρεῖς τοῦ μηνὸς αἱ λεγόμεναι κύριαι, ἃς ἐκ τῶν νόμων ἔχουσιν ἀναγ-*
καίως τελεῖν. ἐπὰν δὲ αἰφνίδιόν τι προσπέσῃ, ἐκκλησιάζουσι μέν, κα-
λεῖται δὲ σύγκλητος· εἰ δ' ἄρα καὶ ἐκκλησία, οὐ κυρία. ἐπειδὴ δὲ εἶ-
πεν 'εἰς πᾶσαν τὴν πόλιν', ἐπήνεγκε ὅτι 'ἐπῄει δὲ ἐκκλησία'· εἰκὸς
γὰρ ἦν πολλῶν ἐρχομένων καταφανὲς γενέσθαι. amgVxLS
425 **139** *παροινία*] *κυρίως ἐχρήσατο τῇ λέξει· εἶπε γὰρ ὅτι* (58) *'μεθυσθέν-* in or. 1, 61
τες'. amgVxLS
140 ⟨*ἀργαλέος*⟩] *χαλεπός, δυσειδής.* VxL
141 *ὑπογενειάζων*] *ἁπτόμενος τῶν γενείων καὶ ἱκετεύων.* amgVxLS
142a *δικῶν λήξεις*] *παρὰ τὸ λαγχάνειν. ἐλάγχανον ἀλλήλοις δικάσον-* in or. 1, 63
430 *τες. καλοῦνται δὲ πάντες οὗτοι προκληθέντες. 'δικῶν' δὲ 'λήξεις*
ἐποιήσαντο' ἀντὶ τοῦ 'ἔλαχον ἀλλήλοις δίκην'. amgVxLS **142b**
ἤγουν 'ἔλαχον δίκην ἀλλήλοις'. a
143 *χρησαμένῳ*] *καὶ τὸν Ἡγήσανδρον διαβάλλει ὡς ἡταιρηκότα παρὰ*
Διοπείθει. amgVxLS
435 **144** *ἐν ἡλικίᾳ*] *ὅτι ἐξαιρέτως εἰώθεσαν οἱ ἀρχαῖοι ἡλικίαν τὴν νεότητα*
καλεῖν. amgVxLSf
145 *Ἀριστοφῶντι*] *κεκωμῴδηται ὁ Ἀριστοφῶν ὡς ὑπὲρ Χάρητος μισθοῦ* in or. 1, 64
λέγων καὶ ὡς παρανόμων γραφὴν πεφευγὼς καὶ ὡς στρατηγήσας ἐν

419 Arist. Ath. 43,4; Harp. s. v. *κυρία ἐκκλησία*; S. *κ* 2760; Ph. s. v.; E. M. 733,15; schol. D. 19,123,263 ab; cf. schol. D. 24,20,53; schol. Ar. Ach. 19 ab; S. *ε* 470; schol. Aeschin. 3,24,66 ‖ 422 *σύγκλητος*] Poll. 8,116; Harp. s. v. *σύγκλητος ἐκκλησία*; S. *σ* 1292; Ph. s. v.; E. M. 733,15; schol. D. 19,123,263 b; schol. Aeschin. 2,72,156 ‖ 427 Apion (L); Hes. *α* 7009; Ba. 141,10; schol. Ar. Pl. 1; S. *α* 3756; Ph. *α* 2769; E. M. 135,17; Z. 286 ‖ 428 Hes. *υ* 584; Bk. 312,6; Ba. 397,21; S. *υ* 462; Ph. s. v.; Et. Gen.; E. M. 782,11; Z. 1783 ‖ 429 cf. Tim. s. v. *λήξεις* ‖ 435 Poll. 6,127; schol. Aeschin. 1,182,366 ab ‖ 437 M. H. Hansen, Sovereignty of the People's Court in Athens, Odense 1974, no. 31 ‖ 437–442 *ἐπιωρκηκέναι* Hyp. fr. 40 Jensen

419 l. om. **x** | *δὲ ἐκκλησία* del. Fr. | *ὑπήρχετο* **L** ‖ 420 *τρὶς* **S** | *κυρίως* **gL** ‖ 421 ⟨*ἐπι*⟩*τε-λεῖν* **x** | *ἐπειδὰν* **L** ‖ 422 *πρόκλητος* **L** | *οὐ* – 423 *ἐκκλησία* om. **V** ‖ 422 *κυρίως* codd., corr. Fr. | *δὲ* om. **xL** | *εἶπεν* om. **L** ‖ 423 *εἰσήνεγκε* **L** | *ὅτι*] *τὸ* **mg** | ⟨*ἡ*⟩ *ἐκκλη.* **xL** ‖ 424 *γὰρ* om. **m** | *ἐρχομένων πολλῶν ἦν* **m** | *πολλῶν* ⟨*ἔργων*⟩ **xL** | *ἐρχομένων* ⟨*τὸ ἔργον*⟩ coni. Sch. ‖ 425 l. om. **gxL** ‖ 427 l. add. Sch. ‖ 428 l. om. **gVxL** | *γενείων* ⟨*δήπου τιμῶς καὶ*⟩ **a** ‖ 429 l. om. **gx** 1,62 *λαγχάνει* **mS** *λήξεις* – *ἐποιήσαντο* B.S. | *τὸ* om. **L** ‖ 430 *προκληθ-έντες*] cf. *λήξεώς τε πέρι δικῶν καὶ προσκλήσεων* Tim. ‖ 433 l. om. **gx** *ἡγησαμένῳ* **L** *Ἡγησάνδρου* Fr. | *καὶ* om. **L** | *ἡταιρηκότι* **m**^{ac} | *παρὰ* om. **m**^{ac} ‖ 435 l. om. **gxf** | *ὅτι* om. **f** | *εἰώθασιν* **mg** *εἰώ*^{θ} **x** | ⟨*τὴν*⟩ *ἡλικίαν* **VxLS** ‖ 437 l. om. **gxS** | *ὑπὲρ*] *ὑπὸ* **mVL** | *χά-ριτος* codd., corr. Bk. ‖ 438 *γραφὴν*] *γραφὰς* ⟨*οε'*⟩ vel ⟨*πολλάκις*⟩ B.S. ex Aeschin. 3,194

Κέῳ καὶ διὰ φιλοχρηματίαν πολλὰ κακὰ ἐργασάμενος τοὺς ἐνοικοῦντας, ἐφ' ᾧ γραφεὶς ὑπὸ Ὑπερείδου παρανόμων ἑάλω. φησὶ δ' αὐτὸν 440
Ὑπερείδης καὶ Ἄρδηττον ἐπικληθῆναι διὰ τὸ πολλάκις αὐτόθι ἐπιωρκηκέναι. ἐπεβίωσε μέντοι ὁ Ἀριστοφῶν ρ' ἔτη παρὰ μῆνας θ'. amgVxLS

146a *πρὶν αὐτῷ*] *ἐπειδὴ ὁ Ἡγήσανδρος ἐδημηγόρει ἀντιπολιτευόμενος Ἀριστοφῶντι, τέως αὐτῷ ὁ Ἀριστοφῶν ἠπειλήσατο ἐπαγγελίαν* 445
ἑταιρήσεως, ὅ ἐστι δοκιμασίαν, 'ἥν', φησίν, 'ἐγὼ κρίνω Τιμάρχῳ'. amgVxL **146b** *ἄλλως· τοῦτό φησιν, ὅτι ὁ Ἡγήσανδρος Ἀριστοφῶντι ἀντεπολιτεύετο, τοῦ δὲ Ἀριστοφῶντος ἀπειλήσαντος αὐτὸν ἐπαγγέλλειν ἐπαύσατο.* amgVxLS **146c** *ὁ Ἀριστοφῶν τῷ Ἡγησάνδρῳ.* VxLf 450

147 *Κρωβύλος*] *Κρωβύλον καλεῖ τὸν ἀδελφὸν τοῦ Ἡγησάνδρου τὸν Ἡγήσιππον τὸν μισοφίλλιπον, καθὸ αὐτὸς ἀλείφει τὴν κεφαλὴν καὶ φιλοκαλεῖ τὰς τρίχας. κρωβύλος γάρ ἐστιν εἶδος ἐμπλέγματος πρῴην γενομένου παρὰ τοῖς παλαιοῖς τῶν Ἀθηναίων, ὡς ἔγνωμεν ἐν τοῖς Θουκυδιδείοις* (1, 6). amgVxLSf 455

in or. 1, 65 **148** *εἰς τοὖψον*] *ὅ ἐστιν ἐν τῇ ἀγορᾷ, ἔνθα τὰ ὄψα, οἱονεὶ πάντα τὰ ἐδέσματα, πιπράσκεται· ἀπὸ γὰρ τῶν πιπρασκομένων ἔν τινι τόπῳ ἐκάλουν οἱ Ἀθηναῖοι τὸν τόπον.* amgVxLSf

149 *κώμοις*] *κῶμος ἡ μετ' οἴνου ᾠδή.* amgVxL

in or. 1, 67 **150** *ἀπομεῖται καὶ ἐπιορκήσει*] *ἀπορήσειεν ἄν τις πῶς ὁ Αἰσχίνης* 460
γράφων τὰς μαρτυρίας τῶν συνειδότων Τιμάρχῳ πεπορνευμένῳ καὶ

441 *Ἄρδηττον*] cf. Ba. 142,12; Bk. 183,4. 207,2; Hes. *α* 7098 Harp. s.v.; S. *α* 3807; E. M. 147,8 || 451 An. Ox. 2,497,4; Hes. *κ* 4266; Harp. s.vv. *Ἡγήσιππος* et *Κρώβυλος*; Σ^b mg (Ba. 283,31); S. *κ* 2488, cf. 2489; Ph. s. v.; E. M. 541,33; Z. 1252; Vind. *κ* 6; schol. Th. 1,6,3; schol. Aeschin. 1,71,161. 3,118,265 || 456 Wycherly no. 638; cf. Poll. 9,47; Bk. 307,30; S. *τ* 8451 || 459 Ba. 286,20; S. *κ* 2272; Ph. s. v.; Z. 1274; schol. Pl. Resp. 573 d; cf. schol. Luc. 214,27

439 *καὶ* om. L || 440 *ὑπὸ ὑπερίδου* post *παρανόμων* **g** | *παρανόμων*] *παρ' ὀλίγον* Meier || 440 et 441 *ὑπερίδ* – codd., corr. B.S. || 440 *αὐτῷ* **V** || 441 *ἄρδητον* **mg** *ἀρδητὸν* **V** (-ττ- **x**) **xLS** | *τὸ*] *τὰ* **V** || 442 *ἐπιορκηκέναι* **mgVxS** || 444 l. om. **gx** | *ἐπειδὴ ὁ Ἡγήσανδρος* om. **L** | *γήσανδρος* **m** || 447 *ἄλλως* om. **mg** ⟨*κρωβύλος*⟩ *ἄλλως* **L** *πρὶν αὐτῷ* **S** | *ὅτι* om. **xL** | *ὁ* om. **aVS** || 448 *ἀντεπολιτεύσατο* **V** || 449 *ἀπαγγέλειν* **m** *ἐπαγγέλλει* **L** sine term. **a** | L. 1,64 *Ἡγήσανδρος*[1] codd. (per positionem), hic edidit Di. | *τοῦ ἠγησάνδρου* **VxL** *τὸν ἠγήσανδρον* **f**, corr. Sch. || 451 l. om. **gxf** | *τοῦ* om. **gLS** || 452 *τὸν* Sau. *καὶ* codd. | *αὐτοῦ* **f** | *ἤλειφε* Bai. *ἠλείφετο* Rei. || 453 *ἐφιλοκάλει* Rei. | *γάρ*] *δέ* **L** || 454 *γινομένου* **amgxL** *γιγνομένου* **Vf** *γινόμενον* **S**, corr. Rei. || 456 l. om. **xf** | *εἰς* del. Rei. | *ὅ*] *οὐκ* **L** *ὅτι* **f** || 459 l. om. **xL** | *κῶμος* om. **L** *κώμη* $\mathbf{m}^{ac}$**g** || 461 *τίμαρχον πεπορνεύμενον* **g**, corr. Sch.

μέντοι καὶ χρησαμένων αὐτῷ προλέγει περὶ αὐτῶν ὅτι ἀρνήσονται ταῦτα. τοῦτο μὲν γὰρ ὅσον ἀπὸ τοῦ εἰκότος. Αἰσχίνου κατηγορία ἐστίν 'εἰ ἃ μὴ σύνοιδε τοῖς μάρτυσιν ὁμολογήσασιν ἄν, τούτων ἐκεῖνος τὰς
465 *μαρτυρίας δι' αὐτῶν τῶν ἀρνουμένων παρέχεται'. καταψευδομαρτυρίας γὰρ ἂν κριθείη, ἥντινα ταύτην ὁ αὐτὸς ῥήτωρ Αἰσχίνης ἐξηγεῖται ἐν ἄλλῳ λόγῳ* (2, 154). *φαμὲν οὖν πρὸς τοῦτο, ὅτι εἰκὸς ἦν τὸν Αἰσχίνην γράφειν μὲν τὰς μαρτυρίας τῶν συνασελγούντων τῷ Τιμάρχῳ θαρροῦντα τῷ πάντας Ἀθηναίους ταῦτα γινώσκειν καὶ νομίζοντα ὡς, εἴπερ*
470 *ἐκεῖνοι πρὸς ἄρνησιν χωρήσειαν, διὰ τῶν ἄλλων ἁπάντων Ἀθηναίων τῶν εἰδότων τὰ περὶ τούτων ἐλέγξειν αὐτοὺς ψευδομένους, μὴ δι' ἄλλων δὲ ἔξω τῆς αἰτίας ταύτας παρέχεσθαι, ἵνα φανῶσιν ἀξιοπιστότεραι αἱ παρὰ τῶν πραξάντων· ἀρνήσεσθαι δὲ προλέγειν αὐτοὺς διὰ τοῦτο, ὅτι οὐδεὶς ἑκὼν ποτε ὅπερ ἐξήμαρτεν ὁμολογεῖ.* g
475 **151** *οὐκ ἠγνόουν ὅτι*] *ἀξιοῦσί τινες μέμφεσθαι τῷ ῥήτορι ἐν ἀγῶνι* in or. 1, 69 *συνηγόρων ἐκβολὴν ποιησαμένῳ, δέον ἐν ἐπιλόγοις, ἀλλ' εὐήθες πάσχουσι· μερικὰς γὰρ πανταχοῦ ποιεῖν ἔξεστιν, ὥσπερ καὶ ἐφ' ἑκάστου κεφαλαίου ἐπιλογιζόμεθα. ἄλλως τε οὐδαμοῦ κάλλιον εἶχεν ἐκβαλεῖν αὐτοῦ τὴν συνηγορίαν ἢ ἐν τῷ περὶ αὐτοῦ λόγῳ, ἔτι μεμνημένων τῶν*
480 *δικαστῶν. ἃ γὰρ ἐκεῖ ἐδεῖτο εἰπεῖν πρὸς τὴν διαβολήν, ταῦτα ἐνταῦθα εἶπεν ἀγωνιζόμενος.* amgVxLS
152 *τὸν Λαωδάμαντα*] *οὗτος ἐραστὴς ἐγένετο Ἡγησάνδρου. μέμνηται δ' αὐτοῦ καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου* (21, 71). amgVxLS
153 *⟨γιγνώσκων⟩*] *ἀντὶ τοῦ 'ποτὲ χρώμενος αὐτῷ αἰσχρῶς'.* aVxLSf
485 **154** *ὑμεῖς ἐθορυβήσατε*] *ἄδηλον πότερον νῦν κατεκέκλητο πρὸς τὴν μαρτυρίαν ὁ Λεωδάμας, ὥστε ἀχθεσθέντας τοὺς δικαστὰς τῷ ὀνόματι θορυβῆσαι, ἢ ὁ Ἀριστοφῶν ἀνέγνω μαρτυρίαν Λεωδάμαντος κρίνων τὸν Ἡγήσανδρον ἑταιρίας. εἰκὸς γὰρ ἦν κεκρίσθαι αὐτόν. καὶ γὰρ προείρηκεν ὅτι ἐπολιτεύετο πρὶν αὐτὸν δοκιμάσειν ἠπείλησεν ὁ Ἀρι-*
490 *στοφῶν.* amgVxL
155 *σαφέστερον*] *ἀντὶ τοῦ 'ἀναιδέστερον καὶ αἰσχρότερον'.* amgVxLf in or. 1, 70

475 Aeschin. arg. 3,19; schol. Aeschin. 3,1,1 a ‖ 483 *Δημοσθένης*] cf. D. 20,146 sq. ‖ 491 Σ^{b} mg (Ba. 362,15)

475 l. om. **g** ‖ 476 *συνηγόρῳ* **L** *συνηγοριῶν* Schei. | *ἐπιλόγῳ* **mg** | *ἀλλ' εὐήθες*] *εὐήθες δὲ* **mg** ‖ 477 *γὰρ*] *δὲ* **mg** ‖ 478 *ἐκβαλλεῖν* **x** ‖ 479 *αὐτοῦ*[1,2]] *αὐτὸν* **m** ‖ 480 *εἰπεῖν*] *ποιεῖν* **m**$^{ac?}$ ‖ 482 l. om. **gxL** post 1,69,153 praeb. (sine l.) Sch. | *λαοδάμαντα* **m** *λεοδ-* **V**^{ac} ‖ 484 l. add. Sch. *τὸν λεωδάμαντα* **a** et **L**$^{\text{per positionem}}$ | *⟨τὸν⟩ ποτὲ χρώμενον* **aVx** (?) **fS** ‖ 485 l. om. **gx** | *ὑμεῖς* del. Fr. | *θορυβήσετε* **V** | *ἄδειλον* **V** | *πρότερον* **L** | *νῦν ⟨καὶ⟩* **L** | *κατεπέπληκτο* codd., corr. Sau. ‖ 486 *ἀχθενσθέντας* **L** ‖ 487 *ἀνέγνων* **V** ‖ 488 *γὰρ* om. **L** ‖ 489 *ὁ* om. **g** ‖ 491 l. om. **gxLf** | *ἀντὶ τοῦ* om. **amgVxL** | *καὶ* om. **L**

156 *⟨ποιεῖσθαι⟩] ἀντὶ τοῦ ‘πεπονθέναι’.* Vf
157 *βδελυρίας] ἀναισχυντίας εἰς ταὐτὸ τὸ ἀσελγαίνειν. εἴρηται δὲ ὡς παρὰ τὴν βδέλλαν τὸ ζωΰφιον, ὅπερ ἐστὶν ἀναιδέστατον καὶ δυσαπόσπαστον.* amgVxLSf 495
158 *ἀπολογούμενον] οἱονεὶ ἀπολυόμενον ὑπὲρ τῶν αἰσχρῶν πράξεων ὧν ἔπραξεν.* amgVxLSf
159 *⟨ὑπερήφανα⟩] μεγάλα.* f
in or. 1, 71 **160a** *ἐπιστρεφῶς] ἀντὶ τοῦ ‘συνεστραμμένως τῇ φωνῇ’, ἵνα μὴ ἐλεγχθῶσιν ἀπὸ τῆς φωνῆς ὄντες κίναιδοι καὶ χαύνως διαλεγόμενοι.* amgVxLSf 500 **160b** *ἢ ἀντὶ τοῦ ‘σπουδαίως’.* amgVxLS
161 *ἀδελφὸς] Ἡγησάνδρου ἀδελφὸς ἦν [καὶ] Κρωβύλος. ἐκαλεῖτο δὲ οὐ μόνον Κρωβύλος, ἀλλὰ καὶ Ἡγήσιππος καὶ ἐκωμῳδήθη ὡς αἰσχρὸς τὴν ὄψιν καὶ περὶ τὰ Φωκικὰ ἡμαρτηκώς.* amgVxLS
162 *μάρτυρας παρασχέσθαι] ἐντεῦθεν ἐλέγχων ἀπαίτησις. ἔλειψε δὲ τὸ* 505 *παραγραφικόν, ὅτι ὁ λόγος ὅλος παραγραφή ἐστιν.* amgVxLS
in or. 1, 74 **163** *⟨οἰκημάτων⟩] σημείωσαι διὰ τὰ τέγη τὰ δημόσια καὶ τὰ οἰκήματα.* aVxL
in or. 1, 75 **164** *ἀλλ’ εἰ πέπρακται] καὶ γὰρ ἐκεῖ οὐ τὸν εἰσελθόντα εἶδεν ὁ θεασάμενος, ἀλλ’ ἐφ’ ᾧ εἰσῆλθεν.* amgVxLS 510
165 *ἐπεὶ πρὸς θεῶν] θαυμασία ἀποστροφή.* aVS
166 *μειράκιον νέον] ἀντὶ τοῦ ‘οὐκ ἀκριβῶς βούπαιδα, ἀλλ’ ἔτι μικρόν’.* amgVxLf
167a *ἀσύμβολον] μὴ παρέχον σύμβολον καὶ ἔρανον, ἀλλ’ ἄλλου συμβάλλοντος δαπανᾷ.* amgVxLSf **167b** *ἀσύμβολος οὖν ὁ ἑτέροις συν-* 515 *εστιώμενος δίχα συμβολαίου καὶ ἐράνου τινός.* amgVxLS

496 Poll. 8,68 ‖ 498 Thom. 370,12 ‖ 503 *Ἡγήσιππος*] Harp. s. v.; S. *η* 57; Ph. s. v.; Et. Gen.; E. M. 418,46

492 l. add. B.S. | *ἀντὶ τοῦ*] *οἱονεὶ* **f** qui hoc schol. cum 1,70,157 coniungit ‖ 493 l. om. **gxSf** | *ἀναισχυντήσας* **V** sine term. **S** | *αὐτὸ* **mgf** | *ὡς παρὰ*] *ὥσπερ* **mgV** *ὡς περὶ* **S** ‖ 496 l. om. **gxLf** | *ὑπὸ* **amgVxLS** ‖ 498 l. add. Di. ‖ 499 l. om. **gx** | *ἀντὶ τοῦ*] *οἱονεὶ* **f** | *συνεστραμμένα* **mg** ‖ 500 *ὑπὸ* **amgVxLS** | *κύναιδοι* **V** | *καὶ* om. **f** ‖ 501 *σπουδαίων* **V** sine term. **S** ‖ 502 l. om. **gx** *κρωβύλος* **V** | *ἡγήσανδρος* **mgVL** sine term. **S** | del. Bai. ‖ 503 *ἐκεδωμωδόθη* **V** *ἐκωμωδώθη* **x** ‖ 505 l. om. **ax** *ἀξιοῦσι δέ με* Fr. | *ἐλέχθην* **L** ‖ 506 *ὅλον* **m** ‖ 507 l. addidi ‖ 508 *οἰκήματα*] *δημόσια* **x** ‖ 509 *ἐκεῖ – τὸν*] *αὐτὸν* **L** ‖ 511 l. om. **V** | *θαυμασίως ἀποστραφείς* **V** ‖ 512 l. om. **gxf** | *ἀντὶ τοῦ* om. **f** | *βούπαιδα*] *ἄπαιδα* **a** ‖ 514 schol. hab. bis **g** | l. om. **g**[1]**g**[2]**xSf** | *παρέχων* Fr. | *συμβάλλοντο* **S** ‖ 515 *δαπανοῦν* **g**[2] *δαπανόν* **f** *δαπανῶν* Rei. | *συνεσθιόμενος* **VS** ‖ 516 *⟨καὶ⟩ δίχα* **m** | *συμβολ* **a** *συμβόλου* Sau. *συμβολῆς* Rei.

168a ⟨*μετὰ χεῖρας ἔχετε*⟩] *ἀντὶ τοῦ 'ὧν νῦν τὴν μνήμην ἔχετε'.* VxL **168b** *νεωστὶ γεγονέναι.* g — in or. 1, 77

169a *διαψηφίσεις*] *αἱ δοκιμασίαι.* amgVxLSf **169b** *διαψήφισις δέ*
520 *ἐστιν, ὁπηνίκα στάσεως δημοτικῆς γενομένης συνέρχονται ἅπαντες οἱ ἐκ τῶν δήμων καὶ σκοποῦσι τίς τέ ἐστι πολίτης καὶ τίς ξένος. καὶ ἐὰν εὕρωσι ξένον, τοῦτον διώκουσιν ὡς ἐξ αὐτοῦ γενομένης τῆς στάσεως. ἔλεγον δὲ ἐκ πολίτου μὴ γίνεσθαί τι τοιοῦτον. Δημόφιλος δέ τις εἰσηγήσατο διαψηφίσεις γενέσθαι τῶν ἀστῶν ἐν τοῖς δήμοις, ὥστε*
525 *τοὺς δημότας περὶ ἑκάστου τῶν ἀναγραφομένων διδόναι ψῆφον ὅτι ἐστὶν ἀστός, μηδενὸς κατηγοροῦντος μηδὲ ἀπολογουμένου, ἀλλ' ἐκ τῆς συνιστορήσεως, καὶ ἴσχυον αἱ διαψηφίσεις τῶν δημοτῶν.* amgVxLS (→ 174 d)

170a *ψῆφον δέδωκε*] *περὶ γὰρ ἑκάστου ψῆφος ἐδίδοτο τοῖς δημόταις·*
530 *ὡσεὶ ἔλεγε 'δοκιμασίαν ἔδωκεν', ἢ ἀντὶ τοῦ 'δέδωκεν ἑαυτὸν εἰς τὸ ἑτέρους ὑπὲρ αὐτοῦ ψηφίσασθαι'.* amgVxL

170b *δοκιμασίαν.* g

171 ⟨*περὶ τοῦ σώματος*⟩] *ἤγουν περὶ ἑαυτοῦ.* g

172 *οὐ μετὸν*] *ἀμετάσχετον.* VLf — in or. 1, 78

535 **173** *φέρε δὴ πρὸς τοῦ Διὸς*] *ἐπιμονὴ τὸ σχῆμα.* aVxL — in or. 1, 79

174a *τετρυπημένη*] *τοῦτο κακοήθως εἶπεν ἐπὶ τοῦ Τιμάρχου, καὶ ἔστι κακέμφατον. τετρυπημένη δὲ ψῆφος ἦν ἡ καταδικάζουσα, πλήρης δὲ ἡ ἀπολύουσα.* amgVxLS **174b** *τετρυπημένη οὖν οἱονεὶ καταψηφιζομένη· ἔγνωμεν γὰρ πολλάκις, ὡς ὅτι ποτὲ μὲν ἐψηφίζοντο οἱ δικασταὶ*
540 *διὰ λευκῆς καὶ μελαίνης ψήφου (καὶ ἦν ἡ μὲν μέλαινα ἡ καταψηφιζομένη, ἡ δὲ λευκὴ ἡ σῴζουσα), ποτὲ δὲ διὰ τετρυπημένης καὶ ἀτρήτου,*

519 (169 a) schol. Aeschin. 1,114,250 ab | (169 b) schol. Aeschin. 1,79,174 d; Harp. s.v. *διαψήφισις* (= FGrHist 324 F 52); S. *δ* 851; Ph. *δ* 507; Z. 517 ‖ 523 *Δημόφιλος*] cf. Aeschin. 1,86 ‖ 536 Arist. Ath. 68,2; Harp. s. v. *τετρυπημένη*; S. *τ* 417; Ph. s. v.; An. Ox. 2,499,14; Bk. 307,18; Ba. 2,333,15 = 2,373,1; schol. Luc. 147,24. 238,22; schol. D. 24,150,304; S. *ψ* 85

517 l. add. Sau. ‖ 519 l. om. **gxf** | *αἱ* om. **f** ‖ 520 *συνέρχωνται* **x** | *πάντες* **x** ‖ 522 *διώκουσιν*] *δικοῦσιν* **a** | *αὐτῶν* codd., corr. Rei. ‖ 523 *γενέσθαι* **mg** | *δέ*] *γάρ* Bai. ‖ 524 *ψηφίσεις* **S** | *γενέσθαι* om. **V** | *ὥστε*] *ὅτε* **mg** ‖ 526 *μηδὲ*] *μὴ δ'* **aS** *μὴ δὲ* **mgVxL** ‖ 529 l. om. **gx** ‖ 530 *λεγ* **V** | *τοῦ* om. **Vx** | *ἔδωκεν* **m**[ac]g ‖ 531 *αὐτοῦ* Fr. ‖ 533 l. addidi ‖ 534 l. om. **Vf** | *μετάσχετον* **VL** ‖ 535 l. om. **VxL** | *ἐπὶ μον* (term. dub.) **L** | *τὸ σχῆμα* ante *ἐπιμονὴ* **x** ‖ 536 l. om. **agx** ‖ 538 *τετρυπημένη οὖν* om. **f** ‖ 539 *γὰρ*] *δὲ* **mg** | *ὅτι* om. **mg** ‖ 540 ⟨*ἣ*⟩ *διὰ* **amgVxLS** | *ἡ*[1]] *ὁ* **S** ‖ 541 *ἀτρύπου* **mg** *ἀτρίτου* **xL**

καὶ κατέκρινον μὲν διὰ τῆς τετρυπημένης, ἔσῳζον δὲ διὰ τῆς ἀτρήτου. amgVxLSf **174c** *καταδικάζουσα.* gxL

174d *διαψήφισίς ἐστι τὸ τοὺς δημότας περὶ ἑκάστου τῶν ἀναγραφομένων διδόναι ψῆφον κατὰ δοκιμασίαν τινὰ εἰ αὐτῷ ὑπάρχον μετέχειν τῆς πόλεως. τοῦτο ἀντιστρέφει καὶ δύναται λέγεσθαι καὶ ὡσείπερ, λάβε ἔξωθεν τὸ 'ἐρρίφθω', ἵν' ᾖ πάνυ οἰκεῖον τῇ συντάξει, καὶ σύνταξον οὕτως 'ὅτῳ δοκεῖ πεπορνεῦσθαι τὸν Τίμαρχον, ἐρρίφθω παρ' ἐκείνου ἡ τετρυπημένη ψῆφος καὶ αὖ πάλιν, ὅτῳ μὴ δοκεῖ, ἐρρίφθω ἡ πλήρης'.* g (545, 550)

175 *⟨ἡ δὲ πλήρης⟩] ἀπολύουσα.* x

in or. 1, 80 **176** *ἡ βουλὴ] ὅτε οὗτος ἐβούλευεν, εἴ ποθ' ἡ βουλὴ ἀθροισθείη.* amgVL

177 *ἀπήγετό] ἀντὶ τοῦ 'ἥρπασται'.* aVxLS

in or. 1, 81 **178** *πρόσοδον ποιουμένης] προσιούσης τῷ δήμῳ.* amgVxLS (555)

179 *οἰκήσεων] οἰκήσεις τινὲς ἦσαν περὶ τὴν Πνύκα ἔρημοι καὶ καταπεπτωκυῖαι. ταύτας συνεβούλευσεν ὁ Τίμαρχος κτισθῆναι, οἱ δ' ἐξ Ἀρείου πάγου ἀντιλέγουσιν. Πνὺξ δὲ πετρώδης ἐστὶ τόπος, ἔνθα ἐκκλησιάζουσιν, ἐν ἐρήμῳ τόπῳ κείμενος. ὠνομάσθη δὲ Πνὺξ παρὰ τὸ πεπυκνῶσθαι ταῖς οἰκήσεσιν. κατέτεμε ⟨* * *⟩ γὰρ αὐτὴν εἰς οἰκίας τοῖς ἠλιασταῖς. ἦν δὲ πάγος ὑψηλός, λόφος καλούμενος Πνύξ.* amgVxLS (560)

in or. 1, 82 **180** *⟨τὸ εἰσήγημα⟩] τὸ ψήφισμα.* aVxL

181 *εἰ Τίμαρχος] πιθανῶς ὁ Αὐτόλυκος ἐμπειρότερον τῆς βουλῆς ἔφη εἶναι τὸν Τίμαρχον.* amgVxLS (565)

544 schol. Aeschin. 1,77,169 b ‖ 555 Poll. 1,25 ‖ 558 *Πνὺξ*] Steph. Byz. 529,3; Bk. 292,30; Ba. 2,325,29; Harp. s.v. *Πυκνί*; Ph. s.v. *πνύξ*; Lex. Pat. ad D. 18,155; E. M. 677,45; schol. Ar. Eq. 42, Ach. 20; schol. Pl. Criti. 112 a; schol. Luc. 61,17. 138,24; schol. Aeschin. 3,34,84 ‖ 563 Ba. 210,20

542 *κατεκρίνομεν* (*μὲν* om.) **L** | *διὰ δὲ τῆς ἀτρήτου ἔσῳζον* **mg** ‖ 543 *ἀτρίτου* **xL** ‖ 544 schol. hab. post 1,82,181 **g**, transp. Sch. ‖ 545 *δοκιμασίαν* Sch. *μετουσίαν* **g** | *εἰ* Sch. *καὶ* **g** ‖ 547 *ἔλαβεν* coni. Sch. ‖ 551 l. addidi ‖ 552 l. om. **g** *εἰ βουλεὶ* **V**^{ac} *ἐβούλευσε* **L** *ἐβούλευε* Sch. | *ὅτε*] *ὡς* **L** | *ἐβούλευσεν* **mgV** | *εἴ*] *τί* **L** | *ἀθροισθείη*] *μνησθείη* **L** ‖ 554 l. om. **VxLS** | *ἀντὶ τοῦ*] *καὶ* **L** | *ἥρπασε* **L** ‖ 555 l. om. **gxLS** | ⟨*τῆς*⟩ *προσιούσης* **LS** | *τὸν δῆμον* **L** ‖ 556 l. om. **gx** | *παρὰ* **V** | *πύκνα* **L** ‖ 557 *ταῦτα* **V** | *ἐβούλευσεν* **x** | *ὁ* om. **mgVxLS** | *Τίμαρχος*] *αἰσχίνης* **m**^{ac}**gVxLS** ‖ 559 *ὀνομάσθη* **Vx** | *Πνὺξ* om. **aVxLS** ‖ 560 post *κατέτεμε* nomen deesse monuit Rei. | *αὐτὸν* **a** ‖ 561 *ταῖς* **m** ‖ 563 l. add. Sch. | *τὸ* om. **xL** ‖ 564 l. om. **gxS** | *ἀπίθανον ὡς* **V** | *ὁ* om. **L** | *ἔμπειρον* codd., corr. Sau. *ἐμπειροτέρως* Aeschin. | *ἔφη* om. **a** ‖ 565 *εἶναι* post *τίμαρχον* **mg** *εἶναι* del. Sch.

182 *τοιαύτην τινὰ συγγνώμην*] *ὁ Αὐτόλυκος συγγνώμην ἔφη Τιμάρχῳ ἔχειν· 'οὗτος γὰρ ἴσως ᾠήθη μικρὸν ὑμᾶς ἀναλώσειν ἐν τῇ ἐρημίᾳ οἰκοδομουμένους'. ὁ γὰρ λόγος ἦν περὶ τῆς Πνυκός. λέγουσι δὲ ἡσυχίαν τὴν ἐρημίαν.* amgVxL — in or. 1, 83

570 **183** *ἡσυχίᾳ*] *ἡσυχίαν ἐκάλουν τὴν ἐρημίαν. Ἀσπάσιος δὲ τὴν ἀπραγμοσύνην ᾠήθη δηλοῦσθαι.* amgVxLS

184 *πάλιν*] *οἱ ὑποπτεύοντες πόρνον τὸν Τίμαρχον ἐθορύβησαν. τὰ γὰρ ὀνόματα κακόσχολα πρὸς τὸν ἐπὶ τούτοις διαβαλλόμενον.* amgVxLS

185 *ὑπολαβόντες*] *ὑποτυχόντες, ἀποκρινάμενοι.* mgVxLS — in or. 1, 84

575 **186** ⟨*ἄτοπον*⟩] *'ἄτοπον' τὸ μέγα καὶ θαυμαστὸν παρὰ Πλάτωνι* (Leg. 1, 646B). g — in or. 1, 85

187 *βοᾶτε*] *ἀντὶ τοῦ 'ἐβοήσατε'· χρόνος ἀντὶ χρόνου.* amgVxLSf

188 *ἐμνήσθην*] *ἀντὶ τοῦ 'ἐπλήρωσα ταῦτα λέγων'.* amgVxLSf — in or. 1, 86

189 *Δημοφίλου πολιτευμάτων*] *ὅταν τις εἰσηγήσηται τῷ δήμῳ τι συμ-*

580 *φέρον, τοῦτο πολίτευμα τοῦ εἰσενεγκόντος καλεῖται. καὶ λέγουσιν 'ὁ δεῖνα τόδε ἐπολιτεύσατο'.* amgVxLS

190a ⟨*ᾐτιάσατό*⟩] *ἀντὶ τοῦ 'κατηγόρησεν'.* aVLf **190b** *ἀπὸ κοινοῦ τὸ 'ᾐτιάσατο'. ᾐτιάσατο δὲ ἀντὶ τοῦ 'κατηγόρησεν'.* amgVxL

191a *συνδεκάζειν*] *συνδεκάσαι ἐλέγοντο οἵτινες συνερχόμενοι ἅμα, εἴτε*

585 *τῶν βουλευτῶν εἴτε τῶν δικαστῶν, τὴν αὐτὴν ψῆφον ἐτίθεσαν περὶ τῶν κρινομένων. οἷον παρεφέρετό τις ἄδικόν τι ποιήσας πρᾶγμα, οἱ δὲ δέκα ἐκεῖνοι, οἵτινες καὶ συνδικασταὶ ἐκαλοῦντο, κέρδους χάριν τὴν ὑπὲρ αὐτοῦ ἐτίθεσαν ψῆφον. οὗτοι δὲ ἐλεγχόμενοι ἐπὶ τούτῳ τῷ πράγ-*

568. 570 *ἡσυχίαν*] cf. Hes. *η* 916 (*ἠρεμία*) || 570 *Ἀσπάσιος*] cf. Asp. 119,3 sq. Heylbut || 574 Ba. 399,1; S. *υ* 534; Ph. s.v. *ὑπολαβών*; Et. Gen.; E. M. 783,4; Z. 1784; Thom. 370,6; schol. Th. 2,72,1; schol. Pl. Gorg. 450 e (Arethae) || 575 Hes. *α* 8133; Ba. 160,17; S. *α* 4374; Ph. *α* 3104; Lex. Cant. 12,9; Et. Gen. AB s.v.; E. M. 164,50; Thom. 36,5; schol. Pl. Resp. 405 d, Phaed. 60 b; schol. Aeschin. 3,179,410 || 578 $Σ^b$ mg (Ba. 217,26) || 582 $Σ^b$ mg (Ba. 253,17)

566 l. om. **gx** || 567 *οὕτως* **L** | *ἴσως γὰρ οὗτος* **g** | *ἀναλώσῃ* **L** || 568 ⟨*ὁ*⟩ *λόγος* **m** | *ἦν*] *ἐστὶ* **V** | *ἡσυχίαν* ⟨*τινὰ*⟩ **mg** || 570 l. om. **gxS** || 572 l. om. **gx** *ἐπὶ τῇ ἡσυχίᾳ* **V** || 574 l. om. **gxLS** | *ὑπολαμβάνοντες* vulg. Aeschin. | *ὑποκρινάμενοι* **L** || 575 l. add. Sch. schol. post 1,85,187 hab. **g** || 577 l. om. **gxf** | *ἀντὶ*[1] om. **f** | *τοῦ* om. **aLS** | *χρόνος – χρόνου* ante *ἀντὶ*[1] **aVxLSf** || 578 l. om. **gxf** *ἐμνήσθη* **VLf** || 579 l. om. **xS** | *Δημοφίλου* del. Fr. | *δήμῳ*] *δημοσίῳ* **L** | *συμφέρον τι* **x** || 580 *τοῦτο* om. **xL**^{ac} *τὸ* **L**^{pc} | *εἰσενέγκαντος* **aS** *-γκο-* om. **L**^{ac} || 580.581 *ὁ δεῖνα*] *ὧδε* **V** || 582 l. add. Rei. | *ἀντὶ τοῦ* om. **L** | 190b post 191c (cum l. *νικόστρατος* **amVL**) codd., transp. Sch. || 583 *ᾐτιάσατο*[1] ⟨*δὲ*⟩ **a** *ᾐτήσατο* **mV** *ἐγράψατο* **g** | *ᾐτιάσατο*[2]] *ἔστι* **m** || 584 l. om. **x** | *συνδεκάσαι*] *συνδεκασταὶ* **m** *συνδικασταὶ* **g** | *ἔλεγον* **x** || 586 *δὲ* om. **VxLS** || 587 *ἐκεῖνοι* ⟨*ὄντες συνδεκασταί*⟩ **m** (*συνδικασταί* **g**) **g** | *οἵτινες καὶ συνδικασταὶ* om. **am** | post *καὶ* fen. praeb. **L** | *συγκαθισταὶ* **gxL**

ματι θανάτῳ ἐζημιοῦντο. amgVxLS **191b** *ἄλλως· συνδεκάζειν, συνδωροδοκεῖν. κυρίως δὲ τὸ ἀναπείθειν δώροις δεκάζειν. συνδεκάζειν* 590
τὴν ἐκκλησίαν οἷόν τινας συνδωροδοκῆσαι. amgVxL **191c** *δώροις συνδιαφθείρειν.* a

in or. 1, 87 **192a** *ἐδέκαζε] δεκάσαι ἐστὶ τὸ διαφθεῖραί τινας χρήμασι παραδικάσαι ἤ τι τοιοῦτον ποιῆσαι.* amgVxLSf **192b** *'ἐδέκαζεν' οὖν, διέφθειρεν ἀργυρίῳ τοὺς δικαστάς. ἤρξατο δὲ τοῦ τοιούτου πρῶτος Ἄνυτος. ὠνο-* 595
μάσθη δὲ τὸ δεκάζειν ἀπὸ τοῦ δέκα συνισταμένους μισθαρνεῖν ἐν τῇ πόλει. amgVxLS **192c** *μάρτυρας φέρειν τὸν δὲ Αἰσχίνην· τὸν δεκάζοντα καὶ τὸν δεκαζόμενον, τὸν μὲν ὁμολογοῦντα ὅτι ἐδέκαζε, τὸν δὲ ὅτι ἐδεκάζετο.* g

in or. 1, 88 **193** *ἐκεῖνοι μέν] συγγνώμην αὐτοῖς πορίζεται πάνυ δεινῶς. ἐπειδὴ γὰρ* 600
ἥλωσαν ἐκεῖνοι καὶ ταῦτα συγγνώμης ὄντες ἄξιοι, πόσης τιμωρίας ἄξιος Τίμαρχος, ὃς ἥμαρτεν ὑπ' οὐδενὸς τούτων κρατούμενος; amg VxL

in or. 1, 89 **194a** *ἐκκλήτῳ] ὡς νῦν λέγομεν τὸ ἔκκλητον δοῦναι, ὅταν εἷς τῶν δικαζομένων ὑπονοῇ τὸν δικαστὴν παραδικάζειν δι' ἔχθραν αὐτοῦ ἢ φι-* 605
λίαν τοῦ ἀντιδίκου καὶ ἕνεκεν τούτου ἐκκαλῆται ἕτερον δικαστήριον κοινὸν ἀμφοτέροις. amgVxLf **194b** *παρατηρητέον ὅτι τῷ μὲν ὀνόματι κέχρηνται οἱ παλαιοὶ τῆς ἐκκλήτου, οὐκέτι μέντοι καὶ τῷ ῥήματι, ὥς φασιν οἱ Ἀττικισταί.* amgVxLSf **194c** *ἄλλως· 'ἐκκλήτῳ' ἀλλοτρίᾳ, εἰς ἣν ἐξεκέκλητο ⟨ὁ⟩ κριθησόμενος.* amgVxL **194d** *ἄλλως·* 610
'ἐκκλήτῳ' παρὰ τὸ ἐκεῖ καλεῖσθαι ἐπὶ κρίσει. οἷον εἰ Ῥόδιόν τις Ἀθήνησιν ᾐτιάσατο, εἶτα ἐκλήθη Ἀθήναζε δικασόμενος. amgVxLS **194e** *ἀλλοτρίᾳ.* g

195 *ἐσπουδακέναι] 'ἐσπουδακέναι' ἀντὶ τοῦ 'σπουδάζειν'· οἱ γὰρ παρακείμενοι οἰκείως ἔχουσιν ἀντὶ ἐνεστώτων λαμβάνεσθαι. πολλὴ δὲ ἡ* 615
τοιαύτη χρῆσις παρὰ τοῖς Ἀττικοῖς. g

593 Hes. δ 556; Ba. 190,21; S. δ 174; Ph. δ 146. 155; Et. Gen. s. v. *δεκάζειν*; E. M. 254,28; cf. Bk. 236,3 ‖ 594 Arist. Ath. 27,5; Harp. s. v. *δεκάζειν*; Bk. 211,31; Plu. Coriol. 14,6; D. S. 13,64,6 ‖ 25 cf. Bk. 247,30; Sabb. 56,6

589 *ἄλλως* om. **mg** ‖ 590 *δὲ* om. **L** | *δικάζειν* Sch. ‖ 591 *τὴν ἐκκλησίαν* om. **mg** ‖ 593 l. om. **gxf** ⟨*τὸν μὲν ὡς*⟩ *ἐδέκαζε* **m** *τὸ δὲ ὡς ἐδεκάζετο* **L**$^{\Sigma}$ | *δεκάσαι*] *δικάζει* **L**^{ac} | ⟨*δὲ*⟩ *ἐστὶ* **L** ‖ 596 *τῇ* om. **amS** ‖ 597 schol. post 1,90,196 **g**, transposui ‖ 600 l. om. **agx** *οἱ ταλαίπωροι* **L** | *ἑαυτοῖς* **aVxL** ‖ 601 ⟨*ἀν*⟩*ήλωσαν* **am**^{ac}**V** ‖ 602 *ἄξιος* ⟨*ὢν ὁ*⟩ **V** | *τίμαρχος ἄξιος* **axL** ‖ 604 l. om. **xf** | ⟨*ὁ*⟩ *εἷς* **f** ‖ 605 *ὑπονοεῖ* **V** | *αὐτοῦ* **a**^{pc}m**VxLf**, corr. B.S. *αὐτὸν* **a**^{ac}g ‖ 606 *τούτου*] *αὐτοῦ* **amgVxL** | *ἐκκαλεῖται* codd., corr. Bk. ‖ 607 *κοινῇ* **f** ‖ 609 *ἀττικισταὶ* bis **a**^{ac} | *ἄλλως* om. **m**^{ac}S | *ἐκκλήτῳ* del. Rei. ‖ 610 *ἐξέκλητο* **L** | add. Rei. | *ἄλλως* om. **am**^{ac}**S** ‖ 611 *περὶ* **S** | *τι* **a** ‖ 614 *ἐσπουδακέναι*^{2} del. Sch.

196 *ἄριστα μὲν εἰδὼς*] *πῶς φησι τὸν μάρτυρα ταῖς μεγίσταις ὑποπίπτειν τιμωρίαις; λέγομεν ὡς οὐδεὶς ἔσται μάρτυς ἐπὶ τοιαύτης πράξεως· λάθρα γὰρ πράττεται. οὐκοῦν μάρτυς ἂν εἴη ὁ τὴν πρᾶξιν ἐργασάμενος, ἀλλ' ἐὰν μαρτυρῇ, κολάζεται ὡς τὸν Ἀθηναῖον καταισχύνων.* amg V x L S — in or. 1, 90 — 620

197 ⟨*τῷ ἀκριβεστάτῳ συνεδρίῳ*⟩] *τοῦτο τὸ συνέδριον εὐδοκίμει ἐν τῇ πόλει.* f — in or. 1, 92

198 *πάνυ κακῶς*] *ἀντὶ τοῦ 'οὐδὲν μετὰ δεινότητος καὶ καλῆς φράσεως'.* amg V x L S f — 625

199 *διὰ τὴν κρίσιν*] *οἱ παρὰ τὸν καιρὸν τῆς κρίσεως λόγοι λεγόμενοι ἕνεκα τοῦ πεῖσαι ὑμᾶς καὶ ἀπατῆσαι ἐνίοτε λέγονται· οἱ δὲ πρὸ τῆς κρίσεως λόγοι ἀληθεῖς, οὓς* ⟨*οὐχ*⟩ *ὁ κατήγορος συνέθηκεν, ἀλλ' ἡ τῆς πράξεως ἀλήθεια.* amg V x L — in or. 1, 93

630 **200a** ⟨*καίτοι*⟩] *ἀντίθεσιν.* a x L **200b** *ἐνταῦθα ἡ πιθανὴ ἀπολογία.* a x L S — in or. 1, 94

201 *λογογράφος*] *Δημοσθένην λέγει. οὐκ ἦν δὲ ἀστεῖον τὸ λογογραφεῖν οὐδὲ τὸ συνηγορεῖν μισθοῦ.* amg V x L S

202 *ἀνδρός*] *ἵνα δύνηται πιπράσκειν τὰ κτήματα.* amg V x L S

635 **203** *τερατευόμενος*] *οἷον ὡς τέρας τι καὶ παράδοξον λέγει με ἀπαγγέλλειν.* amg V x L f

204a *ἐπικλήρου*] *ὅτι ἐπίκληρόν τινα συγγενῆ πρὸς γάμον ἔλαβεν ὁ Ἡγήσανδρος πλουσίαν. νόμος γὰρ ἦν ὁ κελεύων τὸν ἐγγυτέρω τῶν ἄλλων συγγενῶν ὑπάρχοντα εἰς συγγένειαν αὐτῇ τῇ ἐπικλήρῳ γαμεῖν αὐτήν.* amg V x L S f **204b** *ἐπίκληρος δὲ γυνὴ καλεῖται, ἣν ὁ πατὴρ μέλλων τελευτᾶν καταλιμπάνει τινὶ πρὸς γάμον, λέγων ὅτι 'τῷδε αὐτὴν θέλω δοῦναι'.* amg V x L S — in or. 1, 95 — 640

635 Σ[b] mg (Ba. 384,23) || 637 cf. Poll. 3,33; Bk. 256,8; S. ε 2384; schol. Pl. Legg. 630 e; Eust. 675,52

617 l. om. **ax** | *τοῦ μεγίστου* **V** || 618 *ἐστι* **L** || 619 *μάρτυρες* **L** | *ἂν* om. **V** || 622 l. add. Di. | *εὐδοκιμοῦν* **f**, corr. Di. || 624 l. om. **gxLf** *κακῶς πάνυ* **S** *εὖ πάνυ* Fr. | *οὐδὲν* om. **amgVxLS** | *δεινοτάτης* Rei. | *καλῆς*] *φαύλης* **amgVxLS** || 626 l. om. **mgx** *οἱ μὲν γὰρ ἐν τῷ* Fr. || 627 *ὑμᾶς* om. **V** | *ἐνίοτα* **m**[ac] || 628 ⟨*μοι*⟩ *λόγοι* **mg** | *λόγοι*] *λεγόμενοι* Sau. | add. Vatic. gr. 67 et Bk. | *συνέθηκεν* om. **x** *συντέθηκε* **m** *συντέθεικεν* Fr. || 630 l. addidi ex posit. schol. in **LS** l. 1,94 *τὸ μὲν γὰρ* **a**[per positionem] *ἀπολογίαν* Sch. *ἔτι δὲ* Fr. | *ἐντεῦθεν* Di. | *ἡ*] *ἢ* **L** || 634 l. om. **gxL** | *δύνητε* **m** | *κτήματα*] *τιμήματα* **L** || 635 l. om. **xLf** *ἐπιλήρου* **V** | *οἷον ὡς* om. **amgVxL** | *τέρας τι*] *τεράστιον* **mg** | *τι* om. **a** | *καὶ* om. **amgVxL** | *παράδοχον* **m** | *μοι* **amgVxL** | *ἐπαγγέλλειν* **xL** || 637 l. om. **Sf** *κατεκεκύβευτο καὶ κατωψοφάγητο* **V** ⟨*ἀντήρκει ἡ τῆς*⟩ *ἐπικλήρου* **L** | *ὅτι*] *εἰ* **f** || 638 *ἦν* om. **x** | *τὸν*] *τῶν* **L** | *ἐγγυτέρων* **L** || 639 *εἰς – αὐτῇ* del. B.S. || 641 *καταλαμβάνει* **VxL** | *τόδε* **x** || 642 *θέλω αὐτὴν* **VS**

205 *κατεκεκύβευτο καὶ κατωψοφάγητο*] *εἰς κύβους ἐδαπανήθη καὶ εἰς ὀψώνια ἀνηλώθη.* amgVxLS
206 *ἔξωρος*] *ἔξωρος ἔξω τῆς ἡλικίας. ὑπερεβεβήκει τὴν ὥραν, τουτέστι* 645 *τὴν ἀκμὴν τῆς ἡλικίας, ἀνὴρ ἤδη ἐγεγόνει.* amgVxL
207 *ἀνόσιος*] *τὸ 'ἀνόσιος' θηλυκῶς συνέταξε.* amgVxL
in or. 1, 96 **208** *ἀναμένειν τὸ πλέον*] *τὸν παρέχοντα αὐτῷ πλείονα.* amgVxLS
209 ⟨*εὑρίσκοντος*⟩] *ἀντὶ τοῦ 'εὑρισκομένου'.* VxL
in or. 1, 97 **210** *τῆς πόλεως*] *'τῆς ἀκροπόλεως' λέγει· τὸ γὰρ παλαιὸν ἡ ἀκρόπολις* 650 *Ἀθηνῶν ἐκαλεῖτο πόλις.* amgVxLS
211a *ἐσχατιὰν*] *ἐσχατιαί εἰσι τόποι ἔσχατοι τῆς χώρας περατούμενοι ἢ εἰς ὄρη ἢ εἰς θάλασσαν.* amgVxLf **211b** *τὰ ἐπὶ τοῖς τέρμασι δὲ τῶν δήμων ἔσχατα κείμενα χωρία ἐσχατιαὶ ἐκαλοῦντο.* amgVxL **211c** *ἄλλως· ἐν τοῖς χωρίοις ἐναπολαμβάνονται ὄρη ἢ ἄκρα κατὰ τὴν* 655 *Ἀττικήν· παρ' αὐτὰ δὲ ψιλοὶ τόποι εἰσίν, αἳ ἐσχατιαὶ καλοῦνται. τινὲς δὲ ἐργάζονται αὐτούς* [*Σφηττοί*]. amgVxLS
212 ⟨*Σφηττοῖ*⟩] *Σφηττὸς δὲ δῆμος ὄπισθεν τῆς ἀκροπόλεως.* amgVxLS
213 *ὁ δ' ἡγεμὼν*] *ὁ τῶν δημιουργῶν, χοροδιδάσκαλος καὶ ὑφηγητὴς* 660 *καὶ οἷον ἄρχων, ὁ τὰ ἔργα ἐκλαμβάνων.* amgVxL
214a *ἀμόργινα*] *τὴν λινοκαλάμην ἀμόργην λέγουσιν. ἔνιοι δὲ ἀμόργινα πάντα τὰ λεπτὰ ὑφάσματα, ἁλουργὰ δὲ τὰ εὐανθῆ διὰ τὴν βαφήν. 'λεπτὰ' δὲ λεπτοϋφῆ. 'ἔπιπλα' δὲ σκεύη περισσά, ἃ νῦν καλοῦμεν οἰκόσκευα.* amgVxLS **214b** *ἄλλως· ἀμόργινον εἶδος ξύλου ποιοῦν* 665

650 Th. 2,15,4; Moer. 317; Steph. Byz. 34,6. 346,4; Bk. 295,5; E. M. 275,2 ‖ 652 Bk. 256,30; Ba. 238,4; S. ε 3253; Ph. s. v. ‖ 653 Harp. s. v. *ἐσχατιά*; S. ε 3252; E. M. 384,27; Z. 879 ‖ 658 cf. Harp. s. v. *Σφηττός*; Ph. s. v.; E. M. 738,44; Lex. Cant. 26,15; Steph. Byz. 595,10 ‖ 661 *ἄρχων*] Hes. η 55; Bk. 262,9 ‖ 662 *ἀμόργην*] S. α 1626; Paus. Att. fr. 47; Z. 148; schol. Pl. Ep. 363 a | *ἀμόργινα*] Moer. 44 ‖ 664. 671 *ἔπιπλα*] Σ^b mg (Ba. 231,10); Lex. Pat. ad D. 27,10

643 l. om. **xLS** *ἔξωρος* **V** | *καταкεκύβευτο* **amg**, corr. Rei. ‖ 644 *ὀψώνιον* **xL** ‖ 645 l. om. **x** *ἀνόσιος* **V** | *ἔξωρος*[2] om. **mg** ‖ 646 *τῆς*] *τὴν* **x** ‖ 647 l. om. **VxL** ‖ 648 l. om. **xLS** | *ἀναμένειν* del. B.S. ‖ 649 l. add. Sch. | *ἀντὶ τοῦ* om. **Vx** ‖ 650 l. om. **gx** | *λέγει* om. **VS** ‖ 651 *ἀθηναίων* codd., corr. Di. (*τῶν ἀθηνῶν* B.) ‖ 652 l. om. **xf** | *ἐστι* **xL** ‖ 653.654 *δὲ – δήμων* om. **V** ‖ 655 *ἄλλως*] *σφηττοῖ* **S** ‖ 656 *αἳ*] *ἃ* **S** *οἳ* Rei. ‖ 657 del. Rei. ‖ 658 l. add. Rei. | *σφητὸς* **m** ‖ 660 l. om. **x** | ⟨*ὁ*⟩ *ὑφηγητὴς* **a** ‖ 662 l. om. **gxL** | *λεπτοκαλάμην* **S** | *ἀμόργον* **S** *ἀμοργίδα* Fr. | *λέγουσιν*] *καλοῦσιν* **V** | *δὲ*] *καὶ* **V** ‖ 663 *ἀλουργὰ* **m**[pc]**gVxLS** | *τὰ*[2] del. B.S. ‖ 664 *λεπτοφυῆ* codd., corr. Di. | *ἔπιπλα* – 665 *οἰκόσκευα* hab. separatim **g** ‖ 664 *περι*(fen.)*σά* **a** ‖ 665 *ἄλλως*] *ἀμόργινα* (ut l.) **L** om. **m**[ac]**f** | *ἀμόργινα* **L** *ἀμοργὴ* **f** *ἀμόργη* Fr. *ἀμοργὶς* B.S.

ἔρια, ὥσπερ ἐστὶ τὸ ἐριόξυλον. ἄλλοι δὲ λέγουσι τὸ ἐν τοῖς καλάμοις ὥσπερ ἔριον εὑρισκόμενον. ἐσθῆτα δὲ ποιῆσαι ἀπὸ τούτων ἐστὶ δυσχερές, καθὸ λεπτότατόν τί ἐστιν ὡς ὑμήν. κατὰ τοῦτο δὲ καὶ πολύτιμα. amgVxLf

670 **215** *ποικιλτὴν*] *ὃν λέγομεν πλουμάριον.* amgVxLS

216 ⟨*ἔπιπλα*⟩] *ἔπιπλα εἰσὶν ἃ νῦν καλοῦμεν οἰκόσκευα.* f

217 *ἐξηγριωμένον*] *ἀντὶ τοῦ ʻχέρσον γενόμενονʼ.* amgVxLS — in or. 1, 98

218 ⟨*ἀπέδωκε*⟩] *χρεωστῶν ἔδωκε.* a — in or. 1, 100

219a ⟨*Ἀμφιτροπῆσιν*⟩] *ὄνομα δήμου.* axLf — in or. 1, 101

675 **219b** *ὁ δῆμος.* V

220 *ἀργυρείοις*] *τὸ ἀργυρεῖον τῆς Ἀττικῆς τόπος, ἔνθα ἀργυρωρυχεῖα ἦν, ἃ λέγουσιν ἀργυρεῖα. ʻἐπὶ Θρασύλλῳʼ δὲ Ἀττικῶς ἀντὶ τοῦ ʻπρὸς τῷ Θρασύλλου μνήματιʼ. ἦν δὲ πρὸς αὐτῷ μέταλλα ἀργυρίου* [*ἔτι*]. amgVxLS

680 **221** *συνταξάμενος*] *φανερόν τι συνθέμενος παρέχειν αὐτῷ.* amgVxLSf — in or. 1, 102

222a *ἀδυνάτοις*] *κατὰ μῆνα ἐκ τοῦ δημοσίου δίδοται τοῖς ἀδυνάτοις πολίταις μισθός. ἀδυνάτους δὲ πάντας λέγουσι τοὺς ὁπωσδηποτοῦν ἠχρειωμένους πρὸς ἐπικουρίαν ἑαυτῶν.* amgVxL **222b** *ἄλλως· τοῖς ἀδυνάτοις τοῖς σώμασιν ἐχορηγεῖτο ἑκάστης ἡμέρας ἐκ τοῦ δημοσίου* 685 *εἰς τροφὴν τριώβολον.* amgVxLS — in or. 1, 103

223 *μισθοφοροῦντα*] *ἀντὶ τοῦ ʻμισθὸν δεχόμενον ἐν τῷ καταλόγῳ τῶν λελωβημένων καὶ ἀδυνάτωνʼ. νόμος γὰρ ἦν Σόλωνος* (fr. 147 Ruschenbusch) *ὁ κελεύων τοὺς τοιούτους ἐκ τῶν δημοσίων τρέφεσθαι.* amgVxLf

690 **224** *ἀπολειφθέντος*] *οἷον ἔτυχεν οὖν αὐτὸν μὴ παραγενέσθαι ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἔνθα δοκιμάζονται οἱ τρεφόμενοι ἐκ τῶν δημοσίων ὡς ἀδύνατοι.* amgVxLSf — in or. 1, 104

674. 675 Steph. Byz. 91,3 ‖ **677** *ἐπὶ Θρασύλλῳ*] Harp. s. v.; E. M. 400,40; Poll. 8,71 ‖ **680** Σ^b mg (Ba. 376,14); schol. Aeschin. 3,201,450 b ‖ **681** Harp. s. v. *ἀδύνατοι* (= FGrHist 328 F 197 a); S. *α* 540; Hes. *α* 1217; Ba. 32,12; Ph. *α* 393; Z. 42

666 *ὅπερ* **gL** | *ἐρεόξυλον* **amgVxL** | *ἄλλοι δὲ* (in fen.) om. **x** | *ἄλλοι*] *τινὲς* **gL** | *τοῖς* om. **L** ‖ **668** *πολύτιμον* **xL** ‖ **670** l. om. **gxLS** | *ὃν λέγομεν*] *οἰκέτην* **L** ‖ **671** l. addidi ‖ **672** l. om. **gxLS** ‖ **673** l. add. Bai. *ὠφείλησε* per posit. **a**[il] ‖ **674** l. add. Sch., hoc schol. (cum 1,100 *Κηφισίῳ* ut l.) separatim ex **f** ed. Di., sed posit. in **f** ad 1,101 spectat ‖ **676** l. om. **gxS** *ὁ κομισάμενος* **L** | *ἀργύριον* **VS** | *τόπος τῆς ἀττικῆς* **S** | *ἀργυρωρυχία* **xL** ‖ **677** et **678** *θρασύλῳ, -λου* **g** ‖ **678** *τῷ*] *τὸ* **mV** | *αὐτὸ* **VS** | *ἀργυρείου* **V** | del. B.S.; post *ἔτι* lac. coni. Rei. ‖ **680** l. om. **gxLf** ‖ **681** l. om. **x** | *μὴν* **V** | *δήμου* codd., corr. Rei. ‖ **682** *πολίταις* om. **x** | *πάντας* om. **g** ‖ **683** *ἄλλως* om. **m**[ac]**LS** ‖ **686** l. om. **gxf** | *τοῦ* om. **VxL** | *δεχόμενον*] *σχόμενον* **f** ‖ **690** l. om. **gxSf** *πρεσβύτου* **V** | *οὖν* om. **xf** ‖ **691** *ἡμέρᾳ*] *οἰκίᾳ* **L** | *ἐκεῖνοι* **x** | *δικάζονται* **mg**

225 *ἱκετηρίαν*] *ἱκετηρία ἐστὶ θαλλὸς ἐλαίας ἐρίῳ ἐστεμμένος.* amgVxLS

226 *πρυτανείας*] *ἐπειδὴ δέκα ἦσαν πρυτανεῖαι, ἑκάστης δὲ τούτων* 695
πεντήκοντα βουλευταί, οὕτως ἄνδρες πεντακόσιοι πρυτανεύουσιν, ἕκα-
στος μῆνα καὶ ἡμέρας ἕξ, ἕως τὸ ἔτος περιέλθοι εἰς τὰς δέκα φυλάς.
ὁ δὴ χρόνος, ὃν ἄρχει ἡ μία φυλή, πρυτανεία καλεῖται. καὶ μετροῦσι
κοινότερον οὐ πρὸς μῆνας, ἀλλὰ πρὸς πρυτανείας, τούς τε μισθοὺς καὶ
τόκους καὶ ἐνοίκια. amgVxL 700

in or. 1, 105 **227** *⟨ἀλλ' ἴσως ἄν τις εἴποι⟩*] *ἡ μετάθεσις τῆς αἰτίας.* VxLS

228 *⟨τοῦ χωρίου τοῦ Ἀλωπεκῆσι⟩*] *οἰκίας τινὸς δηλονότι.* VxLf

in or. 1, 106 **229** *λαχὼν*] *'λαχὼν' ἀπὸ κλήρου, 'χειροτονηθεὶς' δὲ ἀπὸ δοκιμα-*
σίας. amgVxLSf

in or. 1, 107 **230** *λογιστὴς*] *λογισταὶ κρίνουσι τοὺς ἄρξαντας καὶ ὑπευθύνους ὄν-* 705
τας. amgVxLS

231 *Ἄνδρῳ*] *τῶν Κυκλάδων νήσων μία Ἄνδρος.* amgVxLS

232 *ἐπ' ἐννέα*] *ὡσανεὶ ἔλεγεν 'ἐπὶ μιᾷ καὶ ἡμισείᾳ ἑκατοστῇ', εἴ γε οἱ*
ἓξ ὀβολοὶ ποιοῦσι μίαν δραχμήν, ἥτις δραχμὴ ἑκατοστή ἐστι τῆς
μνᾶς. amgVxLf 710

233a *οὐδεὶς πώποτε*] *δεινὸν τὸ ἐνθύμημα.* aVxS

233b *δεινὸν τοῦτο ᾤμην.* x

234 *ἐκμαρτυρῆσαι*] *ἐν ἄλλῳ μὲν τόπῳ* (2, 19) *σημαίνει τὸ μαρτυρῆσαι*
περὶ ἀπόντος τινὸς ⟨καὶ⟩ ἀποδήμου, ἐνταῦθα δὲ τὸ ἐκφῆναι τὴν
αὑτοῦ συμφορὰν διὰ τῆς μαρτυρίας. amgVxLSf 715

693 Harp. s. v. *ἱκετηρία*; S. ι 265; Ph. s. v.; schol. Ar. Pl. 383 ‖ **695** Arist. Ath. 43,2; Bk. 291,4; Harp. s. v. *πρυτάνεις*; S. π 3000; Ph. s. v.; E. M. 693,53; Lex. Pat. ad D. 22,9. 18,37; schol. Pl. Legg. 953 c; Harp. s. v. *πρυτανείας*; S. π 2996; Ph. s. v.; E. M. 693,43; cf. Poll. 8,115; Thom. 298,13 ‖ **705** Arist. Ath. 54,2; Poll. 8,45; Bk. 276,17; E. M. 569,31; Harp. s. v. *λογισταὶ καὶ λογιστήρια*; S. λ 651; Ph. s. v.; Lex. Cant. 20,15; Lex. Pat. ad D. 18,117; cf. schol. D. 19,211,431; schol. Aeschin. 3,15,49 ab ‖ **707** Steph. Byz. 94,18 ‖ **709** *δραχμήν*] S. τ 34; schol. D. 4,22,89 a; schol. Aeschin. 1,113,249 bc

693 l. om. **gxS** | *θαλλὸς*] *θάλαμος* **m**^{ac}**g** *θάλαμνος* **m**^{pc} | *ἐστεμμένος* **g** et Harp. *ἀνεστεμμένης* **amxL** *ἀνεσταλμένης* **VS** *ἀνεστεμμένος* Fr. ‖ **695** l. om. **x** | *ἦσαν δέκα* **L** ‖ **696** *πεντήκοντα*] *δέκα* **m**^{ac} | *οὕτως* Sau. *τούτους* codd. (del. B.S.) | *⟨ἂν⟩ ἄνδρες* **V** | *ἑκάστου* **m**^{ac} *-στη* **m**^{pc}(?)**gx** *-στον* **L** sine term. **aV**, corr. B.S. ‖ **697** *ἕξ* om. **L** | *ἕξ, ἕως*] *ἐξῶστε* **V** | *ἕως*] *ὥστε* **am**^{ac}**x** | *τὸ* om. **gL** | *περιέλθῃ* **gx** | *εἰς* om. **mg** | *δέκα ⟨καὶ ὀκτὼ⟩* **g** ‖ **698** *μία* **m**^{pc} *μέση* **am**^{ac}**gVxL** | *καλοῦσι* **x** ‖ **700** *⟨τοὺς⟩ τόκους* **x** ‖ **701** l. add. Sch. ‖ **702** l. add. Sch. | *οἰκίαν τινὰ* **VLf** *οἰκίαν ἄλλην* **x**, corr. Sch. ‖ **703** l. om. **gxf** | *λαχὼν*^{2} om. **S** ‖ **705** l. om. **gxS** | *ἄρχοντας* **x** | *καὶ* om. **xL** ‖ **707** l. om. **gxLS** | *τὴν κυκλάδα νῆσον* **V** ‖ **708** l. om. **gxf** | *⟨ἀντὶ τοῦ⟩ ὡσανεὶ* **f** | *εἴ γε οἱ*] *ἡ γὰρ* **x** ‖ **709** *ἕξ*] *καὶ* **V** | *ἑκάστη* **L** | *ἐστι* om. **L** ‖ **711** l. om. **VS** ‖ **713** l. om. **gxSf** ‖ **714** addidi ex schol. Aeschin. 2,19,41a | *ἀποδήμου*] *ἂν δήμου* **V** ‖ **715** *αὐτοῦ* codd., corr. Rei.

235a ⟨ὠνητῆς⟩] οἷον πολέμιός τις βουλόμενος αὐτὴν ἀγοράσαι. in or. 1, 108
πάντως γὰρ ⟨ἂν⟩ αὐτὴν εὐθὺς οὗτος ἐπώλει. af **235b** ὡς ἐπιβαλομένου τοῦ Τιμάρχου ὠνήσασθαι παρὰ τῆς πόλεως φόρον, ὥστε αὐτὸς προκαταθέμενος ἐκλέξαι ἐπιπλεύσας, ἔπειτα σφαλέντος τῷ βουλεύματι.
720 amgVxL

236 ⟨πόθεν;⟩] οὐδαμῶς. x in or. 1, 109

237 Νικοφήμου] οὗτος ἦρξε πρὸ Θεμιστοκλέους· ἐφ' οὗ βουλεῦσαι τὸν Τίμαρχον. ἦν δ' ἐπὶ τοῦ αὐτοῦ ἄρχοντος καὶ Ἡγήσανδρος τῆς θεοῦ ταμίας. καὶ κοινῇ διέκλεπτον τοῦ δημοσίου χιλίας δραχμάς, ὥς φησιν
725 ὁ ῥήτωρ (110). amgVxLS

238 πρὸς μικρὸν μέρος] ὅ ἐστι πρὸς τὸ ἀποδοθὲν ὕδωρ. amgVxLS

239 ἐγγυτάτω τῆς αἰτίας] διὰ τὸ ἐπιφέρειν (110)· 'κλέπτουσι τῆς πόλεως ἀνὴρ καὶ γυνή'. amgVxL

240 οὗτος] ἀναφορικόν ἐστιν ἢ ἐπιδεικτικὸν ὡς τοῦ Ἡγησάνδρου συν- in or. 1, 110
730 ηγοροῦντος νῦν τῷ Τιμάρχῳ. amgVxLf

241 Ἀχερδούσιος] ἀπὸ δήμου. VxLSf

242a ἐκφυλλοφορήσασα] ἀντὶ τοῦ 'διὰ φύλλων αὐτοῦ καταψηφίσηται'. in or. 1, 111
διὰ φύλλων γὰρ οἱ βουλευταὶ ἐψηφίζοντο ἐν τῇ πρώτῃ δοκιμασίᾳ, ἐν δὲ τῇ δευτέρᾳ ψήφοις· δεύτερον γὰρ ἐβουλεύοντο περὶ τοῦ αὐ-
735 τοῦ. amgVxLSf **242b** ἄλλως· οἱ βουλευταὶ φύλλοις ἐχρῶντο ἐν ταῖς δοκιμασίαις. καὶ τὰς ἀρχὰς δὲ ἐνίας φύλλοις ἐκληροῦντο, πρότερον κυάμοις κληρουμένας. ἄλλως· μὴ ἄρα τὴν τῶν ψήφων ἀθρόαν ἐπιφορὰν πρὸς τὸ ἐκβαλεῖν ἐκφυλλοφορίαν εἴρηκε, ⟨ἀλλὰ⟩ παρὰ τὴν τῶν φύλλων φοράν. amgVxLS

740 **243a** δότε τὴν δωρεὰν] στεφανοῦται ἡ βουλὴ κατ' ἔτος, ὅτε καλῶς ἄρχει. ταύτῃ οὖν ἀξιῶ τὴν δωρεὰν δοῦναι. amgxL

731 Steph. Byz. 151,17 || 732 Poll. 8,18; An. Ox. 2,493,24; Bk. 248,7; Harp. s.v. ἐκφυλλοφορῆσαι; S. ε 722; Et. Gen.; E. M. 325,9; Sabb. s.v.

716 l. add. Rei. | αὐτὴν βουλόμενος **a** || 717 add. Schei. | ⟨κατ' ἐκείνους τοὺς χρόνους⟩ ὡς ut l. **agVL** | ἐπιβαλλομένου **aVxL**, corr. Sch. ὑποβαλλομένου **mg** || 718 τῆς] τὴν **a** | φόρου **x** | ὡς **xL** || 719 -ταθέμενος om. in fen. **xL** | ἐπιπλεύσων **L** sine term. **x** || 721 l. addidi || 722 l. om. **x** | ⟨ὑπ⟩ῆρξε **x** || 723.724. θεταμίας **a** θευταμίας **m** || 724 τῆς δημοσίας **V** | ⟨δισ⟩χιλίας **L** || 726 l. om. **xL** | τὸ om. **L** || 727 l. om. **x** || 729 l. om. **gxf** ἐβούλευε ταμίας **mV** | ἀναφορικὴ **amgVxL** | ἢ] ἡ **amgVxL** | ἐπιδεικτικὴ **amgVxL** | ὡς ⟨ἡ⟩ **L** || 730 τῷ om. **x** || 731 l. om. **VxLf** ἀχαρδούσιος **S**, corr. Di. || 732 l. om. **gxSf** | καταψηφίσεται **amgVxS** καταψηφισαμένη vel -ζομένη Rei. || 733 ἐν τῇ om. **amgVxLS** || 734 ψήφῳ **V** || 735 ἄλλως om. **m**[ac] | ἐχθρῶντο **L** || 736 ἔνιοι codd., corr. Schei. || 737 κυάμῳ **amgxLS** -μον **V**, corr. Bk. | κληρουμένους **mg** -μένην **V** | ἄλλως om. **m**[ac]**g** || 738 ἐκβάλλειν **V** | ἐκφυλλοφορίας **V** -ρίαν ⟨ἂν⟩ **a** | addidi || 740 l. om. **gx** | δότε τὴν del. Fr. || 741 ταύτην **xL**

243b *τὸν στέφανον.* f

in or. 1, 112 **244** *⟨ἐν τῇ ψήφῳ⟩] οἷον ἐν τῇ β' δοκιμασίᾳ.* f

245 *κατεδέξατο] 'κατεδέξατο' ὥστε τῇ μὲν τῶν φύλλων ἐπιβολῇ ἐκβαλεῖν, ψήφου δὲ περιενεχθείσης καταδέξασθαι.* amgVxL 745

246 *μὴ περιποιήσητε] πάλιν Ἀττικῶς ἐπερίττευσεν ἡ 'μὴ' ἀπαγόρευσις ἐνταῦθα.* amgVxLSf

in or. 1, 113 **247** *Ἐρετρίᾳ] Ἐρέτρια πόλις τῆς Εὐβοίας. ὅλη δὲ Εὔβοια ὑπ' Ἀθηναίοις ἦν. 'ἐξεταστὴς' δὲ τῶν [ὡς] Ἀθηναίων ἐκεῖθι ξένων.* amgVxLS

248 *τιμήματος] ἀντὶ τοῦ 'περὶ τῆς καταδίκης μόνον παρεκάλει ἧττον παθεῖν τῆς ἀξίας'.* amgVxLSf 750

249a *τριάκοντα μνῶν] 'τριάκοντα μνῶν' τὸ ἥμισυ τοῦ ταλάντου.* amgVxLf **249b** *ὀβολός ⟨* * *⟩· δραχμὴ ἓξ ὀβολοί· μνᾶ ρ' δραχμαί· τάλαντον ξ' μναῖ.* amgVxLS

249c *ὀβολὸς ⟨* * *⟩· ἓξ ὀβολοὶ δραχμή· ἑκατὸν δραχμαὶ μνᾶ· ἑξήκοντα μναῖ τάλαντον.* f 755

in or. 1, 114 **250a** *διαψηφίσεσι] οἷον ταῖς δοκιμασίαις τῶν πολιτῶν, τίνες ἀληθῶς πολῖταί εἰσι γνήσιοι καὶ τίνες παρεγγεγραμμένοι. ἔλαβε δὲ ἵνα συκοφαντήσῃ τὸν Φιλωτάδην, ὅτι οὐ πολίτης.* amgVxLSf **250b** *ἤγουν δοκιμασίαις.* a 760

251a *ἀποψηφίσασθαι] ἀποψηφίσασθαι ἀντὶ τοῦ 'ἐκβαλεῖν αὐτὸν τοῦ εἶναι πολίτην καὶ ἀποδοκιμάσαι'.* amgVxLSf **251b** *ἀντὶ τοῦ 'μὴ ψηφίσασθαι πολίτην'.* amgVxL

252 *τοὺς ὁρκίους] Ἀπόλλωνα πατρῷον καὶ Δήμητρα καὶ Δία, ὥς φησι Δείναρχος ὁ ῥήτωρ* (fr. 29 Conomis). amgVxL 765

748 Str. 10,1,8; Steph. Byz. 276,3; Hes. *ε* 5744; S. *ε* 2940; E. M. 371,6 || 752. 753 *τάλαντον*] S. *τ* 34; schol. D. 4,22,89 a. 37,4,1; schol. Aeschin. 3,104,228; Ba. 312,6 || 753 *δραχμὴ*] S. *τ* 34; schol. D. 4,22,89 a; schol. Aeschin. 1,107,232 || 753. 766 *μνᾶ*] Poll. 9,59; Ba. 302,14; Bk. 278,17; S. *μ* 1144; Ph. s.v.; schol. D. 4,28,89 ab; schol. Luc. 66,10 || 757 Z. 517; schol. Aeschin. 1,77,169 a || 761 Harp. s.v. *ἀποψηφίζονται*; Ba. 138,9; S. *α* 3656; Ph. *α* 2730 || 764 cf. Poll. 8,122; Ba. 142,18

743 l. add. Di. || 744 l. om. **gVx** | *κατεδέξατο*[2] del. B.S. | *φύλλων*] *χειρῶν* **am**[ac]**gVxL** || 746 l. om. **gf** *κατεδέξατο* **V** | *μὴ*[1] om. **S**[t] | *ἡ*] *εἰ* **V** || 748 l. om. **gS** *μὴ περιποιήσητε* **V** | *τῆς* om. **S** | *ἀθηναίων* **amVxL** sine term. **S** || 749 del. B.S. | *ἐκεῖθεν* **gVxL** *ἐκεῖσε* **S** || 750 l. om. **g** *ἐρετρίᾳ* **V** | *τῆς περὶ* **V** | *μόνον* Schei. *λοιπὸν* codd. || 751 *παθὼν* **V** || 752 l. om. **gf** *τιμήματος* **V** (*τὸ – ταλάντου* praeb. **f**[il] ad 1,114 *δισχιλίας δραχμὰς*) | *τριάκοντα μνῶν*[2] om. **f** | *τὸ*] *τοῦ* **L** || 753 *ὀβολός* om. **S** | lac. indicavi | *ἓξ*] *ἔξω* **V** | *μνᾶ ρ'*] *μναί* **V** || 755 lac. indicavi || 756 *τάλαντον μναῖ* **f** qui hoc schol. in duobus columnis praeb., transp. Sch. || 757 l. om. **f** | *οἷον*] *οἱ μὲν* **mgxL** *ὁ μὲν* **V** || 758 *παραγεγραμμένοι* **Lf** | *ἵνα ⟨μὴ⟩* **Sf** || 759 *φιλοτάδην* **VxL** || 761 *ἀποψηφίσασθαι*[2] om. **Sf** | *αὐτὸν* om. **amgVxL** | *εἶναι ⟨αὐτὸν⟩* **amgVxL** || 764 *δήμητραν* codd., corr. Conomis

253 ⟨*εἴκοσι μνᾶς*⟩] *τὸ αὐτό ἐστιν αἱ κʹ μναῖ ταῖς δισχιλίαις δραχμαῖς, εἴ γε ἡ μνᾶ ἔχει ἑκατὸν δραχμάς.* amgVxLSf — in or. 1, 115

254 *συνθηκῶν*] *ἅπερ αὐτὸς ἔγραφε καὶ δέδωκε τούτοις τοῖς δοῦσιν αὐτῷ χρήματα συνθέμενος αὐτοῖς, ὅτι 'καθυφίημι τὸν ἀγῶνα'.* amgVx
770 LSf

255 *προδιήγησις*] *οἷον 'ὥστε προδιηγήσασθαι ὑμῖν ἅπερ μέλλει λέγειν ὁ Δημοσθένης'· περὶ αὐτοῦ γὰρ αἰνίττεται. τέχνας δὲ ἐνταῦθα λέγει τὰς πανουργίας.* amgVxLSf — in or. 1, 117

256 ⟨*οὐκ ἐλαχίστους δὲ τῶν*⟩] *ψεῦδος.* f

775 **257a** *ὁ γὰρ περιττὸς ἐν τοῖς λόγοις*] *οἷον ὁ ἀκριβὴς καὶ περίεργος ἢ ὁ πολὺς κατὰ σοφίαν, ἵν' ᾖ κατ' εἰρωνείαν ἢ ὁ ἁπλῶς ὢν ἐν τῇ πόλει ἢ οἷον περιττὰ τῆς προκειμένης ὑποθέσεως ἀεὶ ἐξευρίσκων πρὸς τὸ παραλογίζεσθαι· ὡς ἐν τῷ ηʹ τῶν Φιλιππικῶν οὔσης τῆς ὑποθέσεως περὶ τοῦ σῶσαι τὸν Διοπείθην αὐτὸς ἄλλην τινὰ προσεξεῦρε λέγων*
780 *περὶ Χερρονήσου εἶναι τὸν φόβον.* amgVxLSf **257b** *καὶ ἐν τῷ κατὰ Ἀριστοκράτους, οὔσης* ⟨*ὑποθέσεως*⟩ *περὶ Χαριδήμου, αὐτὸς ἀνεπλάσατο τὴν Χερρόνησον.* f — in or. 1, 119

229 ⟨*καὶ*⟩ *ἐκ* **g** | *εἰς*] *ὑπὲρ* **V** ‖ 231 l. om. **V**^{ac}**f** | *οἱ* om. **gVxLS** ‖ 232 *τῶν δημοσίων* **V** ‖ 233 *ἐπιμελόμενοι* **VLS** ‖ 234 *ἄλλως*] *ἀποδεκτῶν* **k** om. **D** | *εἰσι*] *γάρ* **g** ‖ 236 l. om. **VS** hoc schol. cum 3,25,70b edidit Sch. | *ἀρχὴν* om. **g**$^{\Sigma}$ | *οἷον*] *οἱ* **xL** | *οἷον* – 237 *ἢ* om. **g** ‖ 237 *ἢ* Sch. *τὸ* codd. | *ἐφορῶν* **gL** *ἐφιστᾶν* **V** ‖ 238 *ἀναλίκοντες* Sch. ‖ 239 l. om. **f** | *καὶ πρόστιμα* om. **f** | *τοῖς*] *τῶν* **V** ‖ 240 *ὅπερ*] *ὅταν* **V** | *οἷον* ⟨*καὶ*⟩ Sch. | *ἐζημίουν* **gL** ‖ 241 *οὓς* **gL** | *ἐβούλοντο* **g** | *δὲ* om. **gxL** | *ποιεῖν* ⟨*γὰρ*⟩ **g** ‖ 242 *ἡ ἀρχὴ*] *ἀρχὴν* **VxL** ‖ 243 *οἷον* – 244 *εἰσάγῃ* om. **x** ‖ 243 *ὁ* om. **g** | *ἄρχειν* **g** ‖ 245 l. om. **L** | *ἐγείρειν* **V** | ⟨*τὴν*⟩ *ἐκκλησίαν* **x** ‖ 247 l. add. Bk. ‖ 249 l. om. **S** | *ἀντ' ἄλλου ἄλλον* **gVxLS** ‖ 250 *ὑπεύθυνος*] *ταῦτα* **gL** | *ὑπὸ* Bk. *ἀπὸ* codd. ‖ 251 *μου* om. **gL** | *ἄλλως* om. **g**

76 *οὔτε ἔλαχε τειχοποιὸς*] *ἀντὶ τοῦ 'οὔτε κληρωτὸς ἐγένετο οὔτε αἱρετός'.* gVxLS 255

in or. 3, 30 **77a** *τριττύες*] *ὅ ἐστι τὸ τρίτον μέρος τῆς φυλῆς. πολλάκις γὰρ ἡ πᾶσα φυλὴ ὑπὲρ ἑαυτῆς ἕνα προεβάλλετο· πολλάκις δὲ καὶ ἓν ἕκαστον μέρος τῶν τριῶν τῆς φυλῆς ἕνα ὑπὲρ ἑκάστου μέρους· καὶ οἱ δῆμοι οἱ μερικοὶ οἷον ὥσπερ αἱ κῶμαι. τοῦτο δὲ εἶπεν, ὡς ὅτι οἱ δῆμοι ἐξ ἑαυτῶν αἱροῦνταί τινα, ἵνα ὑπὲρ τοῦ δήμου αὐτοῦ τοῦ μερικοῦ* 260 *φροντίζῃ.* gVxLSf **77b** *ἄλλως· τὰ τρία μέρη τῶν φυλῶν καὶ οἱ ἡγεμόνες τριττύαρχοι.* gVxLS

77c *αἱ τριττύες τὰ τρία μέρη τῶν φυλῶν ἤγουν τρεῖς φυλαὶ καὶ τρίτον φυλῆς.* Dk

in or. 3, 31 **78a** *ὁ δὲ ῥήτωρ*] *κατ' εἰρωνείαν εἴρηται, μᾶλλον δὲ κατ' ἀλήθειαν.* 265 *βούλεται γὰρ αὐτὸν εἶναι ῥήτορα διὰ τὸ χρήσιμον αὐτοῦ, ἐπειδὴ λέγει 'διὰ τί μὴ αὐτὸς ἀπολογεῖται ὑπὲρ ἑαυτοῦ, ἀλλὰ τὸν Δημοσθένην εἰς συνηγορίαν ἐκάλει;'* gVxLSf **78b** *Κτησιφῶν.* g

79 *τοὺς ἀντιδίκους παρεχόμενος*] *διὰ τὸ μὴ ἔχειν αὐτοὺς ἀντιλέγειν πρὸς τὰ προειρημένα.* gVxLSf 270

in or. 3, 32 **80** *ὡς τοίνυν*] *ἐπλήρωσε τὸν νόμον τὸν κελεύοντα τὸν ὑπεύθυνον μὴ στεφανοῦν. ἄρχεται δὲ ἐντεῦθεν τοῦ ἑτέρου νόμου τοῦ κελεύοντος, ὃν ἂν στεφανοῖ ὁ δῆμος, ⟨μὴ⟩ ἐν τῷ θεάτρῳ, ἀλλ' ⟨ἐν τῇ ἐκκλησίᾳ⟩ ἀνακηρύττεσθαι.* gVxLS

in or. 3, 33 **81** *⟨οὗτος⟩*] *ἐπὶ τὸ δεύτερον νόμιμον μεταβαίνει.* VxLSf 275

82 *ἐργολαβεῖν*] *ἵνα διὰ τοῦ ἐν τῷ θεάτρῳ στεφανοῦσθαι ἔχῃ ἑαυτῷ τοὺς παρέχοντας τὰ χρήματα, ὡς δυνατῷ καὶ τιμωμένῳ ἐν τῇ πόλει.* gVxLSf

256 Arist. Ath. 8,3. 21,3.4; Tim. s. vv. *γεννῆται, τριττύς*; Poll. 8,111; Bk. 306,24; Harp. s. v. *τριττύς*; S. τ 1029; Ph. s. v.; Et. Gen.; E. M. 768,12; Lex. Pat. 152; schol. Pl. Phileb. 30 d, Ax. 371 e

254 l. om. **LS** *ὡς οὔτ' – δήμου* Sch. | *οὔτε ἔλαχε* om. **g**$^{\Sigma}$ | *αἱρετός*] *ὠνητός* **g** *ζηλωτός* **x** ‖ 256 l. om. **f** *τριττύαις* **g**$^{\Sigma}$**L** | *τὸ* om. **f** | ⟨*καὶ*⟩ *ἡ* **f** | *ἡ*] *ὡς* **V** ‖ 257 *ὑπὲρ* om. **f** | *αὐτῶν* **g** *αὐτῆς* **VxL** *αὐτῆς* **S** | *ἓν* om. **V** ‖ 259 *ὅτι* ⟨*καὶ*⟩ **gVx** **LS** | *ἑαυτῶν*] *αὐτῶν* **Vf** ‖ 260 *αὐτοῦ* Bk. *αὐτοῦ* codd. | *μερικοῦ*] *μεμφικοῦ* **V** ‖ 261 *φροντίσῃ* **gVxL** ‖ 262 *τριττύαρχαι* **g** ‖ 263 *τὰ τρία* om. **D** | *ἤγουν*] *εἶτ' οὖν* **D** | *φυλαὶ*] *φυλὰς* **D** | *τρίτης* **D** ‖ 265 l. om. **gf** ‖ 266 *εἶναι* ⟨*κατὰ*⟩ **gL** | *ῥήτορας* **g** | *διὰ τὸ* om. in fen. **g** | *αὐτοῦ* codd., corr. Bk. ‖ 267 *μὴ*] *μὴν* **f** ‖ 269 l. om. **Lf** *πῶς οὖν ἄν τις* **g**$^{\Sigma}$ | *τὸ*] *τί* **V** | ⟨*παρ*⟩*έχειν* **gVxL** ‖ 270 *εἰρημένα* **gVxL** ‖ 271 l. *ἀνάρρησιν* **VS** | *τοὺς ὑπευθύνους* **VS** ‖ 272 *ἑτέρου*] *ἑταίου* **V** ‖ 273 *στεφανῇ* **xL** sine term. **V** | *δῆμος*] *νόμος* **VxLS** | add. Sch. | *ἀλλ'* om. **gxS** | add. Sch. ‖ 274 *κηρύττεσθαι* **VL** ‖ 275 l. add. Bk. ‖ 276 l. om. **f** | *ἔχειν* **V** *ἔχει* **L** | ⟨*ἐν*⟩ *ἑαυτῷ* **gVxL** ‖ 277 *τὰ* om. **gVxL** | *ἐν* om. **gVxLS**

83 *ἐν τῷ δήμῳ*] *ἀντὶ τοῦ 'δήμου θεωρουμένου καὶ οὐχὶ ἐν τῷ θεάτρῳ* in or. 3, 34
280 *ξένων παρόντων'.* gVxLS
84 *ἐν Πυκνὶ*] *ὁ τόπος, ἐφ' οὗ ἡ ἐκκλησία ᾠκοδόμητο, Πνὺξ ἐκαλεῖτο. ἦν δὲ τόπος ὑψηλὸς καὶ νεφώδης.* gVxLS
85 *⟨ἐκκλησιαζόντων⟩*] *θεωμένων.* g
86 *⟨νόμον⟩*] *θέλει εἰπεῖν τὸν περὶ τῶν ξένων, ὅτι κελεύει ὁ νόμος τὸν* in or. 3, 35
285 *ξενικὸν στέφανον ἐν τῷ θεάτρῳ ἀναγορεύεσθαι· τοῦτον γὰρ καλεῖ Διονυσιακόν. ὁ δὲ Δημοσθένης διακόψας τὸ ἥμισυ τοῦ νόμου τοῦ πολιτικοῦ τὸ ἥμισυ παρενέβαλε τὸ τῶν ξένων, ὡς ἔγνωμεν ἐκεῖσε ἐν τῷ ὑπὲρ τοῦ στεφάνου* (18, 110 sqq.). *διὸ ἐπάγει 'μέρει τινὶ' λέγων.* gVxLSf
290 **87** *⟨παραδέδυκεν⟩*] *ἐκ τοῦ 'παραδύω, δύσω, δέδυκα'.* g in or. 3, 37
88 *τῶν ἐπωνύμων*] *τῶν δέκα λέγει, ἀφ' ὧν αἱ φυλαὶ τὰς ὀνομασίας* in or. 3, 39 *ἔχουσιν.* gVxLSk
89 *ἐπιγράψαντας*] *οἱονεὶ ὑποβαλόντας.* VxLSf
90 *διαχειροτονίαν*] *οἱονεὶ διάσκεψιν.* gVxLSf
295 **91** *ἀποδόντων τοῖς νομοθέταις*] *δηλονότι πρὸς τὸ κρῖναι.* gVxLSf in or. 3, 40
92 *⟨ὁ ἕτερος τῶν νόμων⟩*] *ἀντὶ τοῦ 'ὁ Διονυσιακὸς νόμος, ᾧ χρῆται Δημοσθένης'.* gVxLS
93 *⟨οἱ νόμοι⟩*] *πάλιν πληθυντικῶς δὲ εἶπεν ἀντὶ ἑνικοῦ.* gVxLSf in or. 3, 41
94 *γιγνομένων*] *ἀντὶ τοῦ 'ἀγωνιζομένων τῶν τραγικῶν'.* VxLS
300 **95a** *ὑποκηρυξάμενοι*] *Ἀττικῶς ἀντὶ τοῦ 'κηρύξαντες'. χαίρουσι γὰρ ὡς ἐπὶ τὸ πλεῖστον τοῖς παθητικοῖς.* VxLSf **95b** *ὑποκηρυξάμενοι*] *'ὑποκηρυξάμενοι' διὰ κηρύκων ἀφέντες· ἐβόα γὰρ ὁ κῆρυξ 'ὁ δεῖνα τὸν δεῖνα ἠλευθέρωσεν'.* VxLS

281 schol. Ar. Th. 658; S. *π* 1836; Ph. s. v. *Πνύξ*; E. M. 677,45; schol. Aeschin. 1,81,179 ‖ 291 Arist. Ath. 53,4; Bk. 245,17; Hes. *ε* 5586; Harp. s. v. *ἐπώνυμοι*; S. *ε* 2842; Ph. s. v.; Lex. Pat. ad D. 21,103; E. M. 369,15; schol. D. 20,94,208. 21,103,358. 24,8,23. 18,49

279 l. om. **S** | *ἐν*[1] om. **g**$^{\Sigma}$ | *τοῦ* om. **V** | *δήμου* om. **gL** *δῆμος* **V** | *τεθεωρημένου* **g** *θεωροῦντος* **S** ‖ 282 *καὶ νεφώδης* om. **x** ‖ 283 l. addidi ‖ 284 l. add. Bk. *οὗτοι γὰρ* **g**$^{\Sigma}$**xL** *οὐκ ἀπογορεύουσιν* **S** | *τὸν*] *τὸ* **S** | *περὶ* om. **gVxLS** ‖ 285 *τοῦτο* **L** | *γὰρ* om. **gL** ‖ 286 *τὸ*] *τὸν* **VL** | *ἡμισὺν* **V** | *⟨σὺν⟩ τῷ νόμῳ* **gL**^{ac} ‖ 287 *τῷ ἡμίσει* **x** | *τὸ*[2] om. **L** *τῷ* **gx** | *ἐκεῖσε* om. **g** ‖ 290 l. addidi ‖ 291 l. om. **gS** | *⟨δώ⟩δεκα* **gL** ‖ 293 l. om. **xLS** | *⟨ἐπιγράψαντας⟩ οἱονεὶ* **V** ‖ 294 l. om. **gxLf** | *⟨διαχειροτονίαν⟩ οἱονεὶ* **V** | *οἱονεὶ* om. **f** ‖ 295 l. om. **gL** *νομοθέταις* Di. | *ἀποδιδόντων* **Vx** | *⟨τὸ διδόναι⟩ δηλονότι* **g** | *κρίνειν* **f** sine term. **x** ‖ 296 l. add. Sch. 3,41 *οἱ νόμοι* **VxLS** qui 3,40,92 et 3,41,93 ut unum schol. praebb. ‖ 298 l. add. Bk. | *πάλιν – εἶπεν*] *πλῆθος δὲ* **g** | *πάλιν* om. **VxLS** | *δὲ* om. **f** | *ἀντὶ ⟨τοῦ⟩* **gL** | *ἑνικῶς* **gVxL** *ἑνικῶν* **S** ‖ 299 l. om. **L** *γιγνομένων ⟨– τραγῳδῶν⟩* Sch. | *ἀγωνισμάτων* **g** *ἀγωνιζομένου* **V** ‖ 300 l. om. **f** ‖ 301 *ὑποκηρυξάμενοι*[2] om. **S** ‖ 303 *ἐλευθέρωσεν* **VxL**

96 *μάρτυρας τοὺς Ἕλληνας ποιούμενοι*] *εἰρωνείας καὶ ἤθους μεστὸς ὁ λόγος.* gVxLSf 305

in or. 3, 42 **97a** *ὃ δ' ἦν ἐπιφθονώτατον*] *λείπει 'τοῦτο προσθήσω'. 'εὑρημένοι' δὲ ἀντὶ τοῦ 'ποιούμενοι'.* gVxLSf **97b** *'ἐπιφθονώτατον' δὲ ἀντὶ τοῦ 'ἐπίμεμπτον'.* gVxLS **97c** *τοῦτό φησι· τινὲς ἐνταῦθα ἑαυτοῖς κατεσκεύαζον, προσποιούμενοι εἶναι πρόξενοι πόλεων τινῶν, ἵνα αὗται αἱ πόλεις πέμπωσιν αὐτοῖς στεφάνους.* f 310

98 *ἀνδραγαθίας*] *κακοήθως τοῦτο· δέον γὰρ 'εὐνοίας' εἰπεῖν, 'ἀνδραγαθίας' εἶπεν ὡς τοῦ Δημοσθένους ἀνάνδρου ὄντος.* gVxLS

99 *καταθέμενοι*] *ἀντὶ τοῦ 'ὁμολογήσαντες'.* f

in or. 3, 45 **100** ⟨*ἀποδείξῃ*⟩] *ὁ νομοθέτης.* gVxLS

101 *ἐρανίζων*] *ἀντὶ τοῦ 'συλλέγων'.* gVxLSf 315

102 *ὅταν δέ τις*] *ἐνταῦθα ἡ ἀπόδοσις ἐν σχήματι ἐπαναλήψεως, ἐπειδὴ διὰ πολλῶν ἦν ἠρτημένη ἄνωθεν ἀπὸ τοῦ 'ὅταν οὖν ἀποδείξῃ'.* gVxLSf

in or. 3, 48 **103** *ὑποβάλλειν*] *ἀποκρίνασθαι, ἀπαντᾶν λόγοις.* gVxLSf

104 *μὴ κηρύττεσθαι*] *περιττεύει ἡ μία ἄρνησις.* gVxLS 320

in or. 3, 49 **105** *ἔστι δὲ ὑπόλοιπόν*] *ἐπλήρωσε τὸν δεύτερον νόμον καὶ μεταβαίνει ἐπὶ τὸν τρίτον νόμον τὸν κελεύοντα ψευδῆ γράμματα μὴ τίθεσθαι ἐν τῷ Μητρῴῳ, ὃ καλοῦσι δίκαιον κεφάλαιον.* gVxLS

in or. 3, 50 **106** *ἁπλοῦς*] *ὅτι τριχῶς λέγεται τὸ ἁπλοῦν· ἢ ἐπὶ τοῦ ἀπανουργήτου ἢ ἐπὶ ⟨τοῦ⟩ ἐρήμου ἢ ἐπὶ τοῦ συντόμου. ἐνταῦθα οὖν ἁπλοῦν λέγεται τὸ σύντομον, ὡς παρ' Εὐριπίδῃ* (Ph. 469)· 325

ἁπλοῦς ὁ μῦθος τῆς ἀληθείας ἔφυ.

ἐντεῦθεν δὲ μετέρχεται ἐπὶ τὸν τρίτον νόμον τὸν περὶ τῶν ψευδῶν γραμμάτων, οἷον ὅτι οὐ δεῖ ψευδῆ γράμματα ἀποκεῖσθαι ἐν τῷ Μητρῴῳ· τοιοῦτοι δὲ οἱ περὶ Δημοσθένους ἔπαινοι. gVxLSf 330

307 (97 b) schol. E. He. 1185, Me. 303 ‖ 315 Hes. *ε* 5617; Z. 871 ‖ 321 cf. schol. Aeschin. 3,50,106 ‖ 326 *σύντομον*] schol. D. 22,4,17; Hes. *α* 6240 ‖ 328 cf. schol. Aeschin. 3,49,105

304 l. om. **gVf** ‖ 306 l. om. **gf** | *προσθήτω* **f** ‖ 309 *αὐταὶ* **f**, corr. Bk. ‖ 311 l. om. **g** | *δέον*] *δὲ* **V** ‖ 314 l. add. Sch. | *νόμος* **VxLS** ‖ 315 l. om. **gSf** | *ἀντὶ τοῦ*] *οἱονεὶ* **gVxLS** ‖ 316 l. om. **Sf** | *δέ*] *δή* $\mathbf{g}^{\Sigma}$ ‖ 317 *διὰ* om. **gL** | *πολλὴ* **gL** | *οὖν* B.S. *δὲ* **VxLSf** om. **g** ‖ 319 l. om. **f** | *ἀποκρίνεσθαι* **S** | *ὑπαντᾶν* **VS** ‖ 321 l. om. **S** | *ἔστι δὲ* om. $\mathbf{g}^{\Sigma}$ ‖ 322 *τιθέναι* codd., corr. Sch. ‖ 323 ⟨*καὶ*⟩ *κεφάλαιον* **g** ‖ 324 l. om. **f** | *ὅτι* om. **gS** | *ἀπανουργήτου*] *ἀνενεργήτου* **g** *πανουργήτου* **L** ‖ 325 add. Bk. | *τοῦ* om. **g** | *οὖν*] *δὲ* **S** | *λέγει* **x** sine term. **Sf** ‖ 326 *ὡς παρ'*] *ὥσπερ* **f** | *εὐριπίδ* **xLf** *Εὐριπίδης* Bk. ‖ 327 *ἔφυ*] *ἔφη* **V** ‖ 328 *δὲ* om. **gV** | *ἐπὶ* om. **V** | *τὸν*[2]] *τῶν* **VS** | *ψευδῶν γραμμάτων*] *ψευδομαρτυριῶν* **gL** ‖ 329 *γραμμάτων* Bai. *γραμματείων* **V** *-τιῶν* **x** *-τίων* **Sf** | *δεῖ* om. **gVxL** | *ψευδεῖ* **gxL** | *γραμματεῖα* **g** *γραμματεῖ* **xL** *γραμμάτια* **Sf** | *ἐγκεῖσθαι* **S** ‖ 330 *δὲ* om. **gL**

107 *τῷ δ' ἀπολογουμένῳ τοὐναντίον*] *οὐκ ἔστι τοῦτο πρὸς τὸ πρὸ αὐτοῦ, ἀλλὰ πρὸς τὸ ἔτι ἀνώτερον. οὐ γὰρ λέγει ὅτι 'δεικτέον αὐτῷ, εἰ ἔξεστι ψευδῆ γράμματα ἀποθέσθαι', ἀλλ' 'εἰ ἀληθεῖς οἱ περὶ αὐτοῦ τοῦ Δημοσθένους ἔπαινοι'.* gVxLSf

335 **108** ⟨*ὑμεῖς δ' ὑμῖν ἔσεσθε τῶν λόγων κριταί*⟩] *ἴαμβος τρίμετρος.* xL

109 *ἐγὼ τὸν μὲν βίον τὸν Δημοσθένους*] *τὸ δίκαιον κεφάλαιον οὕτω διεῖλεν, εἴς τε τὰ ἴδια Δημοσθένει πραχθέντα καὶ εἰς τὰ δημόσια πεπολιτευμένα, ἀλλὰ τὰ μὲν ἴδια τῷ καθ' ὑποσιώπησιν σχήματι μετέρχεται, τὰ δὲ δημόσια διαιρεῖ εἴς τε τοὺς πρὸ τῆς εἰρήνης χρόνους καὶ* 340 *εἰς τὰ ἐν αὐτῇ τῇ εἰρήνῃ καὶ τὰ μετὰ τὴν κατάλυσιν τῆς εἰρήνης ἕως τῆς ἐν Χαιρωνείᾳ καὶ τὰ μετὰ Χαιρώνειαν ἕως τῆς εἰσαγωγῆς τῆς γραφῆς. πάλιν δὲ τοὺς χρόνους ὑποδιαιρεῖ.* gVxLS (in or. 3, 51)

110 ⟨*τί γὰρ*⟩] *τῷ κατὰ παράλειψιν σχήματι κέχρηται.* gVxLSf

111 *τὴν τῆς κεφαλῆς ἐπιτομήν*] *λέγεται γὰρ ὡς Δημοσθένης ἐπιτεμὼν* 345 *τὴν κεφαλὴν ἑαυτοῦ ἐγράψατο τραύματος ἐκ προνοίας Δημομέλην τὸν Παιανιέα ἀνεψιὸν ἑαυτοῦ ὡς τραυματισθεὶς ὑπ' αὐτοῦ. καὶ λαβὼν ἀργύριον οὐκ εἶπε τὴν δίκην, ἀλλὰ διελύσατο.* VS

112 *τὰ περὶ τὴν Κηφισοδότου στρατηγίαν*] *ἐπὶ ἄρχοντος Καλλιμήδους τῷ πρώτῳ ἔτει τῆς ἑκατοστῆς πέμπτης Ὀλυμπιάδος, ᾧ ἔτει Φίλιππος* 350 *ἐβασίλευσε Μακεδονίας, Ἀθηναῖοι δύναμιν εἰς Ἑλλήσποντον ἐξέπεμψαν καὶ στρατηγὸν ἐπ' αὐτῇ Κηφισόδοτον, ὃς ναυμαχήσας Λαμψακηνοὺς εἰσηγγέλθη ὡς προδεδωκὼς καὶ ἐθελοκακήσας καὶ διὰ κακίαν ἡττηθεὶς τὴν ναυμαχίαν καὶ κριθεὶς περὶ θανάτου τῆς μὲν θανατικῆς ζημίας ἀπελύθη· ἐζημιώθη δὲ ὑπὸ τοῦ δήμου ταλάντοις πέντε. ἐγένετο*

334 schol. Aeschin. 3,54,120; Arg. Aeschin. 3,8.9 || 339 cf. Aeschin. 2.93. 3,212; schol. Aeschin. 2,93,208 a; D. 40,32; Plu. Mor. 846 a || 348 D. 18,167. 23,152–168; M.H. Hansen, Eisangelia, Odense 1975, no. 96 || 354 *ἐζημιώθη*] Harp. s.v. *Κηφισόδοτος*; S. *κ* 1564; Ph. s.v.

331 l. om. **f** *τοὐναντίον* B.S. | *τοὐναντίον* om. **g**$^{\Sigma}$ || 332 *λέγεται* **gL** | *δεικτέον αὐτῷ* om. in fen. **g** || 333 *γραμματεῖα* **gxL** *γραμμάτια* **Sf** sine term. **V**, corr. Bk. | *εἰ*[2] om. **gL** | *ἀληθὴς ὁ* **g** || 334 *ἔπαινος* **g** || 335 l. add. Sch. || 336 l. *ἐγὼ μὲν* Sch. | *τὸν*[2]] *τοῦ* **g**$^{\Sigma}$**S** | *οὕτω*] *οὔτε* **xL** || 337 *εἴς*] *εἶπε* **VS** | *τε* om. **gVS** | *δημοσθένῃ* **xL** sine term. **VS** || 338 *τῷ*] *τῶν* **V** | *κατὰ σιώπησιν* **x** | *μετέρχεται*] *κέχρηται* **S** || 339 *εἴς*] *εἶ* **V** || 340 *τῆς*] *τὴν* **xL** || 341 *τὰ* om. **gxL** || 343 l. add. B.S. *ἐγὼ...δημοσθένους* **f** 3,50 *κἂν τοῦτο* Bk. | *παράληψιν* **VLf** | ⟨*δὲ*⟩ *σχήματι* **gVxLS** || 344 *ἐπιτέμνων* **V** || 345 *ἑαυτῷ* **V** || 347 *εἶπε*] *εἷλε* Sch. || 348 l. *κεφαλῆς* **g**$^{\Sigma}$ | *καλλιδήμου* **g** *καλλιδήμους* **xL** || 349 *ἑκατοστῆς*] *ρ'* **V** || 350 *Ἀθηναῖοι* – 357 *εἶναι* om. **V** || 351 *κηφισόδοντα* **g** | *λαμψακίνους* **S** || 352 *εἰσηγγέλει* **gxL** *εἰσηγγέλλει* **S**, corr. Sch. | *κακίου* **S** || 353 *κριθεὶς*] *καταδικασθεὶς* **g**

δὲ αὐτοῦ, ὥς φησιν Αἰσχίνης, κατήγορος ὁ Δημοσθένης συνεκπεπλευ- 355
κὼς αὐτῷ τριήραρχος καὶ περιάγων ἐπὶ τριήρους καὶ συσσιτῶν καὶ συ-
σπένδων διὰ τὸ πατρικὸς αὐτῷ φίλος εἶναι. gVxLS

in or. 3, 52 **113** *συσσιτῶν καὶ συνθύων] δοκεῖ γὰρ τοῦτο ὥσπερ τιμή τις εἶναι τοῦ*
τριηράρχου ἐκείνου, οὗ ἂν ὁ στρατηγὸς ἐπιβῇ τῆς νεώς, καθ' ὃ δοκεῖ
τῶν ἄλλων τριηράρχων προκρίνειν τὴν ἐκείνου τριήρη ὡς καλῶς κατε- 360
σκευασμένην. οὐκ ἐμνήσθη δὲ τούτου ὁ Δημοσθένης ἐν τῷ κατ' Ἀρι-
στοκράτους (163 sqq.), *ἐπειδὴ μάλιστα μὲν οὐ δι' ἑαυτοῦ λέγει ἐκεῖνον*
τὸν λόγον, ἀλλ' Εὐθυκλῆς ἐστιν ὁ ἐκεῖσε λέγων, λαβὼν τὸν λόγον
παρὰ Δημοσθένους· εἶτα οὐδὲ ἀναγκαῖον ἦν. gVxLSf

114 *καὶ ταῦτα ἤδη τὰ περὶ Μειδίαν] κατὰ κοινοῦ· 'ἐξετάζειν μα-* 365
κροτέρου λόγου ἔργον ἡγοῦμαι εἶναι' καὶ τὰ ἑξῆς. gVxLS

115 *⟨τὴν τοῦ δήμου καταχειροτονίαν⟩] ἵνα λέγῃ περὶ τῆς προβολῆς*
ἐκείνης. gVxLSf^{1}f^{2}

in or. 3, 53 **116** *καταχαριζόμενος] λείπει 'τούτῳ τῷ Δημοσθένει'.* VxLSf

117 *ἀρχαῖα δὲ καὶ λίαν ὁμολογούμενα] πῶς τὰ αὐτὰ ἀρχαῖα καὶ* 370
ὁμολογούμενα (ὀφείλει γὰρ λήθην παθεῖν ὑπὸ τῆς παλαιότητος τοῦ
χρόνου); ὅτι οὕτω, φησί, μεγάλα ἐστίν, ὅτι οὐδὲ ὁ χρόνος τὴν μνήμην
αὐτῶν ἠδυνήθη ἀφελέσθαι. 'ὅτῳ' δὲ ἀντὶ τοῦ 'ᾧτινι', τῷ Δημοσθέ-
νει. gVxLSf

118 *⟨ὦ Κτησιφῶν⟩] τὸ σχῆμα ἀποστροφή.* f 375

119 *⟨ὅτῳ⟩] τῷ Δημοσθένει.* S

in or. 3, 54 **120** *⟨περὶ δὲ⟩] μετέρχεται ἐπὶ τὸ δίκαιον κεφάλαιον ἐντεῦθεν, πληρώ-*
σας τὸ νόμιμον. μερίζει δὲ τὸ δίκαιον εἰς τέσσαρας καιρούς, ὡς
πολλάκις ἔγνωμεν. gVxLSf

121 *καὶ γὰρ πυνθάνομαι] χαριέντως ὁ Αἰσχίνης, ὅτι διαιρῶν τὴν κατ-* 380

377 schol. Aeschin. 3,51,109; Arg. Aeschin. 3,8.9

355 *κατήγ. ὁ Δ.*] *δημοσθένης κατήγορος* **S** ‖ 357 *πατρικῶς* **xL** ‖ 358 l. om. **f** *περιάγων* Bk. | *καὶ συνθύων* om. **g**$^{\Sigma}$ | *τις*] *τε* **S** ‖ 360 *τριήρην* **VxLS** | *κατασκευασμένην* **L** ‖ 361 *τοῦτο* **gVxL** | *ὁ*] *ὅτι* **xL** | *τοῖς* **gVxLS** ‖ 362 *ἐπεὶ* **gxL** ‖ 364 *περὶ* **gL** | *εἶτα* om. in fen. **g** *εἶ-* om. in fen. **L** *ἔπειτ'* **x** ‖ 365 l. *καὶ ταῦτα ἤδη* Sch. | *καὶ – τὰ* om. **g**$^{\Sigma}$ | *ἐξετάζει* **VS** ‖ 366 *ἡγούμενος* **VS** | *τὰ* om. **gLS** ‖ 367 l. add. B.S. *ἐν διονύσου* (*ἐν* om. **g**$^{\Sigma}$) **gVx LS** *καὶ τούτων ἀξιωθεὶς* **f** ‖ 368 *ἐκείνου* **g** sine term. **V** ‖ 369 l. om. **Lf** *προδιδοὺς ὑμᾶς* Bk. | *τούτῳ* om. **S** *τοῦτο* **V** om. (tiniae morsu absumptum) **x** | *τὸ* **S** ‖ 370 l. om. **f** | *καὶ*^{1} – *ὁμολογούμενα* om. **g**$^{\Sigma}$ | *αὐτὰ* om. **V** | *καὶ*^{2} om. **xL** ‖ 371 ⟨*ἃ μᾶλλον*⟩ *ὀφείλει* **g** | *γὰρ* om. **g** ‖ 372 *ὅτι*^{1} et ^{2} om. **g** | *ἐστίν*] *ἔτι* **g** ‖ 373 *ὅτῳ – Δημοσθένει* om. **S** ‖ 375 l. add. Bk. ‖ 376 l. addidi ‖ 377 l. add. Bk. *ἀφορίζεται* **g**$^{\Sigma}$**V** *δημοσθένην* **xL** | *ἐντεῦθεν* post *μετέρχεται* **S** ‖ 378 *δὲ* om. **g** | *τέσσαρας* om. **gVxL** ‖ 380 l. *ἐπειδὰν* **V** | *πύν* **g**$^{\Sigma}$ | *διαιρεῖ* **S**

ηγορίαν εἰς τέσσαρας καιροὺς οὐχ ὡς αὐτὸς ταύτην ποιούμενος τὴν διαίρεσιν τῆς κατηγορίας ποιεῖται τὸν λόγον, ἀλλ' ὡς τοῦ Δημοσθένους χρωμένου ταύτῃ τῇ τῶν καιρῶν διαιρέσει, ἵνα ὁ λόγος αὐτῷ ἀνεπιφθονώτερος γένηται. gVxLS

385 **122** *τοῦτον δ' ἀφορίζεται] λέγει οἱονεὶ 'εἰς ἕνα χρόνον συνάπτει'.* gVxLSf

123 *⟨τῇ γενομένῃ εἰρήνῃ⟩] 'τῇ γενομένῃ εἰρήνῃ' ἀντὶ τοῦ 'μέχρι τῆς γενομένης εἰρήνης', συλλαμβάνων καὶ αὐτὴν τὴν εἰρήνην.* gVxLSf

124 *ἐγκαλύπτωμαι] ἀντὶ τοῦ 'σκέπω ἐμαυτὸν' ὡς ἀπορῶν δῆθεν. 'ἐκ-* in or. 3, 55
390 *καλύψειν' δὲ ἀντὶ τοῦ 'γυμνώσειν με σκεπόμενον'.* gVxLSf

125 *φιλανθρώπως] διὰ τὸν Φίλιππον λέγει. εἰ γὰρ μὴ φιλανθρώπως* in or. 3, 57 *ἡμῖν προσηνέχθη, τί ἐκώλυε κρατήσαντα ἐν Χαιρωνείᾳ ἐπιθέσθαι τῇ πόλει;* gVxLS

126 *τὴν προτέραν ἐκείνην εἰρήνην] μετὰ γὰρ τὰ ἐν Χαιρωνείᾳ ἐποιή-* in or. 3, 58
395 *σαντο πάλιν εἰρήνην πρὸς Φίλιππον.* gVxLS

127 *τὰς πρεσβείας ἃς ἦτε ἐκπεπομφότες] Αἰσχίνου πείσαντος πρέσβεις ἐπὶ τὰς πόλεις Ἀθηναῖοι πεπόμφασι 'παρακαλοῦντες ἐπὶ Φίλιππον'. τοῦτο Δημοσθένης ἐν μὲν τῷ περὶ παραπρεσβείας* (16) *ὁμολογεῖ καὶ παρεῖναι πρέσβεις τινάς φησιν, ἐν δὲ τῷ περὶ στεφάνου* (23) *ἀρνεῖται*
400 *ὡς τῶν δικαστῶν οὐ μεμνημένων τῷ πλέον ἢ δέκα ἔτη εἶναι τὰ ἐν μέσῳ. τὸ δὲ 'παρακαλοῦντες ἐπὶ Φίλιππον' οὔπω δῆλον ἢ περὶ εἰρήνης ἢ πολέμου, ἀλλ' ἵνα βουλεύσωνται πρότερον ⟨ἃ⟩ δεῖ ποιεῖν.* gVxLS

128 *ἐπὶ Φίλιππον] ἀντὶ τοῦ 'κατὰ Φιλίππου'.* VxSf

129 *⟨συστάντες⟩] ἀντὶ τοῦ 'φατριάσαντες ἐπὶ τὰ δημόσια ὑμῶν πράγ-*
405 *ματα'.* f

130 *εἰ δέ τισιν] τοῦτό ἐστι προδιόρθωσις. ἐπειδὴ γὰρ ὑπόληψιν ἔχου-* in or. 3, 59

403 Poll. 6,195; schol. Hom. *Π* 27, *T* 93 b; schol. D. 24,157,314; schol. Th. 1,116,1; schol. Aeschin. 1,173,351. 3,89,199

381 *⟨τοὺς⟩ τέσσαρας* **gxL** ‖ **382** *τῆς* om. **g** ‖ **383** *ἀνεπίφθονος* Sch. ‖ **385** l. 3,55 *μέχρι* **g**$^{\Sigma}$ | *τοῦτον δ'* om. **f**$^{\Sigma}$ | *λέγει* om. **gVxLS** | *συνάπτει* om. **V** ‖ **387** l. add. B.S. ‖ **388** *καὶ* om. **V** ‖ **389** l. om. **Sf** *ἐγκαλύπτομαι* **x** | *ὡς – δῆθεν* om. **g** | *ἀπορῶν] ἀπὸ τῶν* **L** | *ἐκκαλύψει* codd., corr. Bai. ‖ **390** *γυμνώσει* codd., corr. Bai. | *με* om. **g** ‖ **391** *τὸν] τί* **V** | *λέγειν* **g** sine term. **VS** | *γὰρ] γε* **VS** ‖ **392** *κρατήσαντες* **V** *κρατῆσαι τὰ* **L** sine term. **x** ‖ **394** l. om. **S** | *ἐκείνην εἰρήνην* om. **g**$^{\Sigma}$ ‖ **396** l. *τὰς πρεσβείας* Sch. quae om. **g**$^{\Sigma}$ | *πρέσβεις* om. (tiniae morsu absumptum) **x** ‖ **397** *πεμπόμενοι* **gL** *πεμπόνφασιν* **V** | *⟨καὶ⟩ παρακαλοῦντες* **g** | *παρακαλοῦντας* Sch. ‖ **398** *τούτῳ* **L** | *τῷ μὲν* **L** | *μὲν* om. **S** | *περὶ* om. **VxL** ‖ **400** *τῷ πλέον* om. **V** ‖ **401** *ἢ] εἰ* **S** | *βουλεύσονται* **V** ‖ **402** *πότερον* codd., corr. Sch. | add. Sch. ‖ **403** l. om. **xSf** | *ἀντὶ τοῦ* om. **x** | *κατὰ* **L**^{il} ‖ **404** l. add. Bk. ‖ **406** l. om. **S**

σιν οἱ πολλοὶ περὶ Δημοσθένους ὡς εὐνοϊκῶς πεπολίτευται, οὗτος δὲ τὴν ἐναντίαν δόξαν αὐτοῖς ἐμποιεῖν προαιρεῖται, εἰκότως προδιορθοῦται, ἵνα εὐπαράδεκτος αὐτοῦ ὁ λόγος γένηται. gVxLS

131 *⟨ὥσπερ⟩] παραβολή.* L 410

132 *ἐπὶ τοὺς λογισμούς] ἐπὶ τὸ ἀπαιτῆσαι λόγον τῶν ἀναλωθέντων χρημάτων.* gVxLSf

133 *συγκεφαλαιωθῇ] ἀντὶ τοῦ 'πλήρης ἀποδειχθῇ'.* gVxLSf

134 *αἱρῇ] ἀντὶ τοῦ 'καταλάβῃ'.* f

in or. 3, 61 **135** *⟨συνεδρίου⟩] τῶν Ἑλλήνων.* xL 415

in or. 3, 62 **136a** *ἐπιλαχών] ἐλάγχανον γὰρ οἱ ἄρχοντες καὶ σὺν αὐτοῖς ἄλλοι ὥσπερ δεύτεροι αὐτῶν, ἵνα εἷς αὐτῶν εἰ ἀπέθανεν ἐν τῷ μεταξὺ τῆς ἀρχῆς ἢ ἠρρώστησεν, ὁ δεύτερος ἀντ' αὐτοῦ ἐγίγνετο ἄρχων. 'ἐκ παρασκευῆς' δὲ 'πριάμενος' οἷον ὑποφθείρας χρήμασι τοὺς προέδρους τῆς βουλῆς, ὥστε αὐτὸν βουλευτὴν ποιῆσαι.* gVxLSf **136b** *ἄλλως·* 420 *ὅταν κληρώσωνται βουλευταὶ ἢ δικασταί, εἶτά τινες ἐξομόσωνται, ἕτεροι ἐπικληροῦνται αὐτοῖς πρὸς τὸ τὸν ἀριθμὸν ἐκπλησθῆναι. τοῦτ' ἂν εἴη τὸ ἐπιλαχεῖν, τὸ δὲ πρότερον λαχεῖν.* gVxL

137a *ἵνα εἰς ὑποδοχὴν ἅπαντα καὶ λέγοι καὶ πράττοι] οἷον τὰ ἀρέσκοντα αὐτῷ.* gVxLSf **137b** *ἵνα…πράττοι] ἵνα ὁ μὲν εἰσηγοῖτο, ὁ* 425 *δὲ συνηγοροίη, ὁ μὲν γράφοι, ὁ δὲ λέγοι, ὅτι καλῶς ἔγραψεν.* gVxLS

in or. 3, 64 **138** *ἐπράττετο] οἷον ἐπραγματεύετο αὐτὸς ὁ Φίλιππος καὶ συνετίθετο.* VxL

139 *τοὺς πολλὰ συκοφαντηθέντας] ἐν γὰρ τῇ πρώτῃ, φησί, πρεσβείᾳ ἐπῄνει αὐτούς, ὕστερον δὲ ἐν τῇ δευτέρᾳ διέβαλλεν ὡς προδότας.* gVxLSf 430

in or. 3, 65 **140** *εἴ τινες] τῶν Ἑλλήνων.* VxS

141 *τρίτον δὲ] κατὰ κοινοῦ 'ἐπράττετο'.* VxLS

142 *παρηγγέλλετο δὲ] ὁ Φίλιππος ἤτοι τῷ Κερσοβλέπτῃ προήγγειλεν*

414 Ba. 45,14; S. *αι* 297; Ph. *α* 641; schol. Pl. Theaet. 142 b, Clit. 407 d

407 *⟨τοῦ⟩ δημοσθένους* **x** ‖ 410 l. addidi ‖ 411 l. om. **f** ‖ 415 l. addidi ‖ 416 l. om. **Sf** | *οἱ* om. **f** (fortasse praesectum) ‖ 417 *εἰ ἀπέθ. εἷς αὐτῶν* **x** ‖ 418 *δεύτερος* om. **VxLSf** | *αὐτῶν* **VxL** ‖ 420 *βουλευτὴν ποιῆσαι] πολεμῆσαι* **V** ‖ 421 *ὅτι κληρώσονται* **V** | *ἐξομόσονται* **V** ‖ 424 137a ad fin. 136a praebb. codd., transp. Di. | l. hab. codd.$^{\Sigma}$ | *ἵνα] οἷον* **x** | *καὶ λέγοι* om. **L** | *λέγῃ* **g** sine term. **Vx** (in **x** leguntur *πράττ καὶ λέγ*) | *πράττῃ* **g** *-ει* **L** ‖ 425 *ἵνα*^{1} et *ἅπαντα – πράττοι* om. **g**$^{\Sigma}$ | *συνηγοροίη] συγχωροίη* Sch. ‖ 426 *γράφῃ* **x** sine term. **V** *γράφων* Sch. | *λέγων* Sch. ‖ 427 *οἱονεὶ* Sch. ‖ 429 l. om. **gSf** *ἐκ μεταβολῆς* B.S. *ἐπαινέτης* Bk. | *πρώτῃ] προτέρᾳ* **g** ‖ 430 *διέβαλεν* **gL** ‖ 433 l. om. **xLS** ‖ 434 *προήγελλεν* **V** *παρήγγειλεν* **x** *παρήγγελλεν* Sch.

435 *ὅτι ἐστράτευσεν ἐπ' αὐτόν, ὥσπερ πολλοὶ προαγορεύουσι πολεμίοις, ἢ τοῖς ἑαυτοῦ συμμάχοις εὐτρεπίζεσθαι πρὸς τὸν Κερσοβλέπτου πόλεμον προσέταξεν.* gVxL

143a *κατακοινωνήσαντες*] *οἱονεὶ κοινωνήσαντες ἀλλήλοις καὶ τῶν πραγμάτων ⟨τῶν⟩ τῆς πόλεως.* gVxLSf **143b** *ὅταν κοινῇ τινες λέγωνται* 440 *κατακοινωνῆσαι.* gVxL — in or. 3, 66

144 *τοὺς καιροὺς*] *οἱονεὶ τὰς εὐκαιρίας καὶ τὸ δύνασθαι διὰ τὸ ἀναμεῖναι τοὺς Ἕλληνας ἐλθεῖν καὶ κοινωνῆσαι τῆς εἰρήνης.* gVxLSf

145 *προαγών*] *ἐγίγνοντο πρὸ τῶν μεγάλων Διονυσίων ἡμέραις ὀλίγαις ἔμπροσθεν ἐν τῷ Ὠιδείῳ καλουμένῳ τῶν τραγῳδῶν ἀγὼν καὶ ἐπίδει-* 445 *ξις ὧν μέλλουσι δραμάτων ἀγωνίζεσθαι ἐν τῷ θεάτρῳ, δι' ὃ ἐτύμως προαγὼν καλεῖται. εἰσίασι δὲ δίχα προσωπείων οἱ ὑποκριταὶ γυμνοί.* gVxLS — in or. 3, 67

146 *ὃ πρότερον οὐδεὶς μέμνηται γενόμενον*] *οἱονεὶ ἐκκλησίαν ἐν πανηγύρει.* f

450 **147a** *νικᾷ Δημοσθένης*] *δοκεῖ ἀπίθανον εἶναι, εἰ τοῦτο ἔγραφε Δημοσθένης, ἀλλ' ὡς ἔοικε διὰ τὸ τάχος σπεύδειν τὴν εἰρήνην ποιήσασθαι.* gVxL **147b** *ἄλλως· ἀντὶ τοῦ 'γράφει μηδενὸς αὐτῷ ἐναντιουμένου'.* VxLSf — in or. 3, 68

148 *ἀνεγνώσθη δόγμα*] *ἴσως ἄν τις ἀπορήσειε 'πῶς τῶν μήπω ἀφιγ-* 455 *μένων δόγμα;' οὐκ ἦσαν δὲ οἱ Ἕλληνες πάντες σύμμαχοι αὐτοῖς (οὐδὲ γὰρ ἔπεμπον πρὸς αὐτοὺς πρεσβευομένους), ἀλλά τινες πόλεις, ὧν σύνεδροι ἦσαν Ἀθήνησιν, οἳ ἐκφέρουσι τὸ δόγμα τοῦτο. ἦν γὰρ συνεδρία ἐν ταῖς προϊσταμέναις πόλεσι τῶν συμμάχων καὶ καθῆντο παραδείγματος ἕνεκα δύο ἐκ Βοιωτίας ἢ πλείους καὶ δύο ἐκ Πελοποννήσου καὶ* 460 *κοινῇ γνώμῃ ἐπράττετο τὰ δέοντα.* gVxL — in or. 3, 69

441 Poll. 6,204; Ba. 266,19; S. κ 1187; E. M. 497,56; schol. E. Ph. 471, An. 485; schol. Aeschin. 2,27,56

435 *ἐστράτευσεν ἐπ' αὐτόν*] *ὦ κερσοβλέπτα στρατεύσω ἐπὶ σέ* **g** | *πολέμους* **g** *πολέμοις* **VxL**, corr. Sch. | *ἢ*] *ὃς* **V** *οἳ* **L** ‖ 436 *πρὸς τὸν*] *πρὸ τοῦ* **VxL** ‖ 438 l. om. **f** | *καὶ*] *κατὰ* Sau., sed vide 3,66,144 et 2,147,229 ‖ 439 add. Sch. ‖ 441 l. om. **gf** | *τὸ*[1]] *τοῦ* **L** | *τὸ*[2]] *τοῦ* **g** ‖ 442 *Ἕλληνας*] *ἄλλους* **V** ‖ 443 *ἡμέραι ὀλίγαι* **xL** *ἡμέρ ὀλίγαι* **S** *ἡμέρ ὀλίγ* **V** ‖ 444 *τῷ τραγῳδιῶν* **V** ‖ 445 *μέλουσι* **L** | *διὸ* codd., corr. Sch. | *ἑτοίμως* **gL** *ἕτοιμος* **VS** ‖ 446 *προαγαγὼν* **L** | *δὲ δίχα*] *μέχρι* **x** | *προσώπων* **V** ‖ 448 *γεγονὸς* vulg. Aeschin. ‖ 450 *νικᾷ ψήφισμα* vulg. Aeschin. | *ἔγραψε* **V**(?) ‖ 451 *ἀλλ' ὡς*] *Ἄλλως* Sch. ‖ 452 *ἄλλως*] *νικᾷ δημοσθένης* **f** om. **S** | *γράφειν* **VL** *-ει* vel *-ειν* absumptum in morsu tiniae in **x** ‖ 454 *πῶς*] *περὶ* Sch. | *ἀφικομένων* Sch. ‖ 455 *δόγματος* **V** | *σύμμαχοι πάντες* codd., transp. Sch. | *αὐτῶν* Sch. ‖ 456 *πρεσβευόμενοι* codd., corr. Sch. ‖ 458 *ἐκάθηντο* **g**

149a *ἀναγκαιοτέραν ἢ καλλίω] τὰ συγκριτικὰ ἀντὶ τῶν ἀπολελυμένων εἴληπται, ἀντὶ τοῦ 'ἀναγκαίαν ἢ καλήν'.* gVLS

149b *ἀναγκαιοτέραν ἢ καλλίω] ἀντὶ τῶν ἀπολελυμένων εἶπε τὰ συγκριτικὰ οἷον 'ἀναγκαίαν ἢ καλήν'.* x

150 *ἀπήντησαν] ἀντὶ τοῦ 'προκατέλαβον ἰασόμενοι'.* gVxLS 465

in or. 3, 71 **151** *δόξαν] ἀντὶ τοῦ 'δόκησιν, ὑπόληψιν'.* gVxLS

152 *ὡς ἔσται μὲν] τὸ ἑξῆς οὕτως· 'ὡς ἔσται μὲν ἡ εἰρήνη', 'ἔσται δὲ κοινῇ (τὸ δὲ 'περὶ συμμαχίας' μεταξύ) μετὰ δὲ τῶν Ἑλλήνων ἁπάντων' (διὰ τὴν τρίμηνον).* gVxLS

in or. 3, 72 **153** *τὸ ῥῆμα] ῥῆμα ἐνταῦθα καλεῖ οἷον τὴν ῥῆσιν αὐτὴν καὶ τὸ* 470 *κῶλον· ὄνομα δὲ τὴν λέξιν, οἷον τὸ ἀπορρῆξαι.* gVxLSf

in or. 3, 73 **154** *βουλευτὴς] τὸ κατάλληλον 'βουλευτὴς ὢν καθεζόμενος ἐκ παρασκευῆς', τοῦτ' ἔστιν, ἐπίτηδες εἰς τοῦτο καθίσας καὶ ἐξ ἐνέδρας ἐπὶ τὸ κακουργῆσαι.* gVxLS

in or. 3, 74 **155** *Φιλοκράτης] πάλιν τὸ αὐτὸ ἔγκλημα· τοῦ γὰρ Φιλοκράτει γεγραμ-* 475 *μένου τὴν αἰτίαν Δημοσθένει περιτίθησιν.* gVxL

156 *⟨παρεγγράψας⟩] οἱονεὶ ὑποβαλών.* f

in or. 3, 75 **157** *τίς ἦν] πάλιν κατὰ τοῦ αὐτοῦ.* VxLS

158 *τοῖς αὐτομολοῦσιν] οἱονεὶ τὰ τῶν πολεμίων φρονοῦσι καὶ μεταβάλλουσιν ἑαυτούς.* gVxLSf 480

159 *ἐπέδωκε τῷ δήμῳ] αὐτά, φησί, τὰ δημόσια γράμματα ἐπέδωκε τῷ δήμῳ.* gVxLSf

in or. 3, 76 **160** *ἐνιαυτὸν] ἐπειδὴ οἱ βουλευταὶ οἱ πεντακόσιοι ἐνιαύσιοι ἦσαν.* f

161 *εἰς προεδρίαν] ἀντὶ τοῦ 'εἰς ἐπιφανῆ καὶ διάσημον ἐν τῷ θεάτρῳ τόπον'.* gVxLS 485

466 Ap. S. 60,15; Bk. 242,29; Ba. 200,36; S. *δ* 1362; Ph. *δ* 711; An. Ox. 2,432,18; Et. Gud. 374,18 De Stefani; schol. Pl. Phileb. 61d; schol. E. Hi. 1414, Me. 1010

461 l. om. **S** | *ἢ καλλίω* om. **g**$^{\Sigma}$ | *τῶν* om. **S** || **462** *ἢ] καὶ* **gLS** || **463** *ἀπολυμένων* **x**, correxi || **465** l. om. **x** *ἀπήντησας ⟨– ἰασόμενοι⟩* Sch. | *ἀντὶ τοῦ* om. **x** | *τοῦ* om. **V** || **466** l. om. **xL** | *ἀντὶ τοῦ* om. **xL** *ἤτοι* **g** | *δόκησιν* om. **x** || **467** l. del. Sch. qui 151 et 152 coniunxit | *ἡ* om. **gL** | *ἔσται*[3] – **468** *κοινῇ* om. **g** || **468** *μεταξὺ* om. **gxL** | *δὲ*[2]] *καὶ* **VS** om. **g** || **470** l. om. **f** | *καλεῖ ἐνταῦθα* **S** | *οἱονεὶ* **gVxLS** || **472** l. om. **g** *καθεζόμενος – παρασκευῆς* Sch. || **473** *εἰς* om. **VxLS** | *ἐξενέδρας* **VxL** | *τῷ* **gxL** || **475** l. om. **g** | *τῶν...γεγραμμένων* **gxL**, corr. Sch. *τῷ...γεγραμμένῳ* **V** || **477** l. add. Sch. || **478** l. om. **L** | *τοὺς αὐτοὺς* **VS** || **479** l. om. **f** | *διαβάλλουσιν* **S** || **480** *αὐτούς* **VxLS** *αὐ*(ras.) **g** || **481** l. om. **gf** | *αὐτά* om. **g** | *γράμματα* Sau. *πράγματα* codd. | *δέδωκε* **x** || **484** l. om. **S** | *εἰς*[1] om. **g**$^{\Sigma}$ | *εἰς*[2] ⟨*οὐ*⟩ **x** (?) | *ἐν – θεάτρῳ* om. **xS** || **485** *τόπον* ante **484** *ἐν* **g**

162 *προσκεφάλαια*] *ἐπὶ τῶν βάθρων, ἵνα μαλακῶς καθέζωνται, τὰ καλούμενα ὑπηρέσια.* gVxL
163a *φοινικίδας*] *οἱονεὶ πυρρὰ παλλία.* gVxLSf **163b** *ἢ φοινικῆν ἐσθῆτα τοῖς προσκεφαλαίοις ἐπέβαλε καὶ περιεκάλυψεν αὐτά.* gVxLS
490 **164** *καὶ ἅμα τῇ ἡμέρᾳ*] *ἅμα ὄρθρῳ, πρὸ ἡλίου ἀνατολῆς, ἦγεν αὐτούς, τιμὴν αὐτοῖς ταύτην νέμων τὸ ἡγεῖσθαι αὐτοῖς τῆς ὁδοῦ.* gVxLS
165 *ζεύγη ὀρικὰ*] *ἡμιόνων ὀχήματα τρία.* gVxL
166 *ἵνα δὲ ἐπὶ τῆς ὑποθέσεως*] *μὴ παρέκβασιν ποιήσωμαι μηδὲ τὰ ἔξωθεν τοῦ πράγματος λέγω.* gVxLS
495 **167** *Χαριδήμου*] *οὗτός ἐστιν Ὠρείτης γένος, δημοποίητος Ἀθηναῖος, στρατηγὸς ὑπ' Ἀθηναίων ᾑρημένος.* gVxLS — in or. 3, 77
168 *ἑβδόμην δ' ἡμέραν*] *οὕτως οἱ Ἀττικοί· θέλει δὲ εἰπεῖν ὅτι πρὸ ἓξ ἢ ἑπτὰ ἡμερῶν οἷον ἑβδομαίου ὄντος τοῦ συμβεβηκότος.* gVxLSf
169 *τὰ νομιζόμενα*] *τὰ ἐπὶ τοῖς ἀποθανοῦσι νενομισμένα.* gVxLS
500 **170a** *ἐβουθύτει*] *ὡς χάριν ὁμολογῶν τοῖς θεοῖς ὑπὲρ τῆς πόλεως, ὅτι ἐτελεύτησεν ὁ Φίλιππος.* gVxLSf **170b** *ὁ δημηγορῶν δὲ Ἀθήνησιν ἐστεφανοῦτο, καὶ ὅτε ἐπαύετο, παρεδίδου θατέρῳ, καὶ ὁπότε εἴποι, ὀρθῶς ἐτιμᾶτο στέφεσθαι. 'ὁ δείλαιος' δὲ ἀντὶ τοῦ 'ὁ κακοδαίμων', νῦν δὲ ἀντὶ τοῦ 'πονηρός'.* gVxLS
505 **171** *ὁ γὰρ μισότεκνος*] *ῥητορικοὶ συλλογισμοί.* VxL — in or. 3, 78
172 *φυγὰς ἀπ' εἰσαγγελίας*] *εἰσαγγελθεὶς ἐπὶ τῷ ἀδικεῖν καὶ κριθεὶς καὶ καταδικασθεὶς φυγὰς ἐγένετο. οἱ γὰρ δοκοῦντες τὴν πόλιν ἀδικεῖν εἰσηγγέλλοντο ὑπὸ τῶν βουλομένων, καὶ ἔστιν ὄνομα δίκης ἡ εἰσαγγελία.* gVxLS — in or. 3, 79
510 **173** *διαφερόντως*] *ἀντὶ τοῦ 'μετὰ σπουδῆς καὶ ἐξαιρέτως'.* gVxL

486 Poll. 9,40; Ph. s.v. *προσκεφάλαιον* || 495 Arist. Rhet. 1399 b 1; Athen. 10,436 b; Liban. Arg. in D. 21,1 || 506 cf. Arist. Ath. 8,4. 59,2; Bk. 244,14; Ba. 201,4; Harp. s.v. *εἰσαγγελία*; S. ει 222; Sabb. 54,17; Z. 633; Lex. Pat. ad D. 8,29. 18,24 || 510 Hes. δ 1430; Ba. 197,2; S. δ 816; Ph. δ 491; Z. 535. 559; schol. Th. 1,38,4

486 l. om. **g** | *βαράθρων* **VxL** | *καθίζωνται* **xL** | *καλοῦσιν* **V** *λεγόμενα* **x** || 488 *πυρὰ* **gVxL** | *παλλία* (lege *pallia*)] *παλλιά* **g** *παλία* **xL** | *φοινικὴν* **VxLS** || 489 *κεφαλαίοις* **VxLS** | *ἐπέβαλλε* **VxL** || 490 *τῇ ἡμέρᾳ* om. **g**$^{\Sigma}$ | *ὄρθου* **V** *ὀρθείῳ* **x** || 491 *ταῦτα* **xLS** sine term. **V** | *αὐτοῖς*^{2}] *αὐτὸν* **S** sine term. **V** || 492 l. om. **gL** || 493 l. om. **S** *ἵνα δὲ* Sch. | *ποιήσωμεν* **gL** *ποιήσομαι* **V** || 494 *λέγωμεν* **gL** *λέγων* **V** || 495 l. om. **g** || 496 *εἰρημένος* **V** || 497 l. om. **f** *τῆς θυγατρὸς* **x** | *δ' ἡμέραν* om. **g**$^{\Sigma}$ | *ἀττικοὶ* ⟨*λέγουσι*⟩ **Sf** | *θέλει δὲ*] *δέον* **Sf** | *ὅτι* om. **V** *οἷον* **x** | *ὅτι* – 498 *ἢ*] *πρὸ* **Sf** || 498 *οἷον* – *συμβεβηκότος* om. **Sf** | *ὄντα* **L** || 499 *τὰ*^{1} om. **g**$^{\Sigma}$ || 500 *ὡς* om. **g** || 501 *ὁ*^{1} om. **gVxLS** | *ὁ*^{2}] *οὐ* **g** || 503 *δὲ* om. **x** || 504 *ἀντὶ τοῦ* om. **x** || 505 l. om. **x** *ἰδίᾳ πονηρὸς* **V** || 506 l. *φυγὰς* ⟨*-γεγένηται*⟩ Sch. | *ἀπ' εἰσαγγελίας* om. **g**$^{\Sigma}$ *ἀπεισαγγελίας* **xLS** | *εἰσαγγελεῖς* **VxLS** | *τὸ* **VS** || 508 *ἀννελία* **VS** || 510 l. om. **x** | *ἀντὶ τοῦ* om. **x** | *καὶ* om. **x**

in or. 3, 80 **174** *παραδόξως*] *παρὰ τὴν τῶν πολλῶν ὑπόληψιν, ἀπροσδοκήτως ἢ ἀπίστως, παρὰ τὴν πάντων δόξαν. ἠλπίζετο γὰρ σώσειν, ὁ δὲ ἀπώλεσεν.* gVxLS

in or. 3, 81 **175** *ὑπὲρ ὧν*] *ἀντὶ τοῦ 'ὑπὲρ δωροδοκίας'.* VS

176 *διενεχθῆναι*] *περὶ ἀργυρίου καὶ δωροδοκίας εἰς ἀψυχίαν προεληλυθέναι.* gVxLS 515

177 *μετὰ τῶν συμφύτων*] *οὕτω τὸ ἑξῆς· 'μετὰ τῶν συμφύτων αὐτῷ νοσημάτων (δειλίας, ζηλοτυπίας) ἤδη τὰ μετὰ ταῦτα ἐβουλεύετο'.* g[1]g[2]VxL

178 *τῆς πρὸς Φιλοκράτην ὑπὲρ τῆς δωροδοκίας ζηλοτυπίας*] *οἱονεὶ ὑπὲρ τοῦ λαβεῖν αὐτοὺς χρήματα παρὰ Φιλίππου καὶ φιλονεικεῖν ἑκατέρους περὶ τοῦ πλείονος πρὸς ἀλλήλους.* gVxLSf 520

in or. 3, 82 **179** *⟨Δορίσκον ... Γανιάδα⟩*] *ταῦτα χωρία τὰ ἐπὶ Θρᾴκης πλησίον Χερρονήσου.* VS

in or. 3, 83 **180** *Ἀλόννησον*] *Ἀλόννησος νῆσός ἐστι τῶν Ἀθηναίων. ταύτην λῃσταὶ κατέλαβον· τούτους Φίλιππος ἀφελόμενος τὴν νῆσον ἐδίδου τοῖς Ἀθηναίοις αὐτὴν ⟨ἐν⟩ δωρεᾶς μέρει δι' ἐπιστολῆς γράψας. Δημοσθένης* (or. 7) *δὲ ἀντεῖπε μὴ λαμβάνειν αὐτὴν ἐν δωρεᾶς μέρει συμβουλεύων, ἀλλ' εἰ ἀποδίδωσιν ὡς αὐτῶν οὐσίαν οὕτω λαμβάνειν.* gVxLS 525

181 *καὶ τὸ τελευταῖον*] *Ἀθηναῖοι ἐπὶ Πυθοδότου ἄρχοντος τῷ β' ἔτει τῆς ρθ' ὀλυμπιάδος Φιλίππου βασιλεύοντος ἔτος ιη', ὑποπτευομένης λυθήσεσθαι τῆς πρὸς Φίλιππον εἰρήνης, ἔπεμψαν πολλαχοῦ τῆς Ἑλλάδος πρεσβείας περὶ συμμαχίας καὶ εἰς Θετταλίαν καὶ Μαγνησίαν τοὺς περὶ Ἀριστόδημον, ἀποστῆσαι αὐτοὺς βουλόμενοι ἀπὸ Φιλίππου. ἐγένοντο μὲν οὖν αὐτοῖς τότε σύμμαχοι Ἀχαιοί, Ἀρκάδες οἱ μετὰ Μαντι-* 530 535

523 *Δορίσκον*] Harp. s.v.; S. *δ* 1384 ‖ 525 schol. D. 7,1,8 ‖ 530 D. 18,244; D.H. De Dinarch. 320,12 U.-R. (= FGrHist 328 F 158); M.P. Foucart, Études sur Didymos, Mémoires de l'Académie des Inscriptions et Belles Lettres 38, 1909, 165 sq.

511 l. om. **S** *φωκεῦσι* **g**$^{\Sigma}$ | *πολλῶν*] *πόλεων* **V** ‖ 512 *γὰρ* om. **VxLs** ‖ 514 l. om. **V** ‖ 515 *εἰς*] *εἰ* **L** | *ἀψυμαχίαν* **gxLS** ‖ 517 l. om. **g** *μετὰ τῶν* om. **g**$^{2\Sigma}$ | ⟨*καὶ*⟩ *οὕτω* **g**[1] | *αὐτῶν* **g**[2]**V** ‖ 518 *ζηλοτυπίας* ⟨*καὶ*⟩ *δειλίας* **g**[1] | ⟨*καὶ*⟩ *ζηλοτυπίας* **g**[2] ‖ 520 l. om. **f** *ὑπὲρ τῆς δωροδοκίας, ζηλοτυπίας* Bk. | *τῆς* et *ὑπὲρ – ζηλοτυπίας* om. **g**$^{\Sigma}$ ‖ 521 *τοῦ* om. **gVxL** ‖ 523 l. addidi | *τὰ* om. **S** ‖ 525 l. om. **gS** | *ἀλόνησον, -ος* codd., corr. Sch. | *τῶν* om. **VxS** | *ταύτην*] *αὐτὴν* **x** ‖ 526 *τὴν νῆσον* om. **VS** ‖ 527 addidi | *ἐπιστολὴν* **x** (?) ‖ 528 *δὲ* om. **g** | *συμβούλων* **V** ‖ 529 *εἰ* Sch. et Aeschin. *ἐὰν* codd. | *ὡς* om. **VxLS** | *αὐτῶν* codd., corr. Sch. | *οὖσαν* **S** ‖ 530 *καὶ* om. **g**$^{\Sigma}$ | *Ἀθηναῖοι* om. **g** | *ιβ'* **V** ‖ 531 *βασιλεύσαντος* **x** | *ἔτος* om. **S** | *ὑποπτευόμενος* **V** *-μένοι* **S**^{pc} ‖ 533 *μαγνησίαν* ⟨*καὶ γανίδα*⟩ **gxL** ‖ 535 *-ὲν – αὐ* litt. absumptae in morsu tiniae in **x** | *οὖν* om. **L** | *Ἀχαιοί*] *σκαιοί* **g** *σχαῖοι* **x** *σχαιοί* **L** | *μετὰ* om. **V**

νέων, Ἀργεῖοι, Μεγαλοπολῖται, Μεσσήνιοι. πόλεμος δ' αὐτοῖς ἐγένετο τότε πρὸς Καρδιανούς, οἷς ἐβοήθησε Φίλιππος. gVxLS

182 *παρὰ τὰς τῆς εἰρήνης συνθήκας πρεσβεύσαντας] ἐπειδὴ σύμμαχοι ἦσαν Θετταλοὶ καὶ Μάγνητες Φιλίππου καὶ ἐγέγραπτο ἐν ταῖς συνθή-* 540 *καις μὴ ἀφιστάναι τοὺς ἀλλήλων συμμάχους. τεχνικῶς οὖν τὸ κατὰ τοῦ δήμου ἔγκλημα· ὁ γὰρ δῆμος ἦν ὁ πέμψας τοὺς πρέσβεις καὶ στεφανώσας ἐπανήκοντας. αὐτὸς ⟨δ'⟩ ἐπὶ τοὺς πρέσβεις καὶ Δημοσθένην μετήνεγκε φάσκων αὐτὸν ἐστεφανωκέναι αὐτοὺς ὡς αὐτοῦ γεγραφότος δηλονότι περὶ τοῦ στεφανωθῆναι τοὺς πρέσβεις ψήφισμα.* gVxLS

545 **183** *⟨συμμαχίᾳ⟩] ἀντιστατικὴ λύσις.* V — in or. 3, 84

184 *Μνησάρχου] ὁ Μνήσαρχος ἦν Χαλκιδεὺς ἀπ' Εὐβοίας τῶν ἐν τῇ Χαλκίδι διασήμων ἀνδρῶν. οἱ δὲ Χαλκιδεῖς ὑπ' Ἀθηναίοις ὄντες ὕστερον ἀπέστησαν καὶ ἐστασίαζον πρὸς ἀλλήλους. ἦν δὲ τῆς ἑτέρας τῶν στάσεων ἡγεμὼν ὁ Μνήσαρχος καὶ κατὰ μὲν ἀρχὰς ἀντεδίκει τοῖς* 550 *Ἀθηναίοις, ὕστερον δὲ αὐτοὺς προσίετο καὶ καταγωνισάμενος τοὺς ἀντιστασιώτας προσεποίησε τοῖς Ἀθηναίοις τὴν Χαλκίδα. οἱ δ' υἱοὶ αὐτοῦ, Καλλίας καὶ Ταυροσθένης, μετὰ Κηφισοφῶντος τοῦ στρατηγοῦ τῆς Ἀθηναίων δυνάμεως στρατεύσαντες ἐπ' Ὠρεὸν Φιλιστίδην τὸν τύραννον ἀπέκτειναν ἐπὶ ἄρχοντος Ἀθήνησι Σωσιγένους μηνὶ Σκιροφο-* 555 *ριῶνι Φιλίππου βασιλεύοντος ἔτος ιθ'. φησὶ δὲ Δημοσθένην νῦν τολμᾶν γράφειν ψηφίσματα Καλλίᾳ καὶ Ταυροσθένει, δηλονότι διὰ τὴν ἐπ' Ὠρεὸν μετ' Ἀθηναίων στρατείαν.* gVxLS — in or. 3, 85

185 *Ἀθηναίους εἶναι] καὶ γὰρ τῇ ἀληθείᾳ πολίτας αὐτοὺς ἐποιήσαντο οἱ Ἀθηναῖοι διὰ τὸ τὴν Εὔβοιαν ποιήσασθαι ὑφ' ἑαυτούς.* VLSf

546 FGrHist 328 F 159 (= Did. in D. 9,57)

536 ⟨*οἱ*⟩ *μεγαπολῖται* **V** ‖ 538 l. hab. codd.$^{\Sigma}$ | *περὶ* **g**^{ac}**L** | *πρεσβεύσασιν* **g** | *ἐπειδὴ* ⟨*δὲ*⟩ **g** ‖ 539 *καὶ*^{2} om. **gL** | *ἐγγέγραπτο* **L** | *συν-* om. in fen. **L** (*αν* **L**^{il}) ‖ 540 *ἀφιστάνους* **L** | *τεχνικῶς*] *τεθνηκὸς* **g** ‖ 541 *τοῦ* om. **V** ‖ 542 *ἐπανήκοντας* om. in fen. **g** | *αὐτοὺς* **g** sine term. **x** | add. Sch. ‖ 543 *αὐτοὺς* om. in fen. **g** | *ὡς* om. **x** ‖ 545 l. addidi ‖ 546 l. om. **g** | *τῶν*] *τῆς* **gx** *τοῖς* **L** | *τῇ* om. **g** ‖ 547 *ἀσήμων* **gxL** ‖ 549 ⟨*τὰς*⟩ *ἀρχὰς* **xS** ‖ 550 *αὐτοῖς* **VxLS** | *καταγωνίσας* **gL** ‖ 551 *Ἀθηναίοις*] *χαλκιδαίοις* **g** ‖ 553 *τῆς* Arn. Schaefer *τῶν* codd. | *δυνάμει* **g** | *στρατευσάμενοι* **x** *-σαντος* **L** | *φιλιππίδην* codd., corr. Sch. ‖ 554 *ἐπέκτειναν* **V** | *Σωσιγένους* Schaefer *σωσίππου* **VxS** *ὠσίππου* **gL** *Δεξίππου* (per errorem de **V**) vel *Νικομάχου* Sch. ‖ 555 *βασιλεύσαντος* **x** | *φησὶ* – 557 *στρατείαν* om. **x** | *Δημοσθένην* – 556 *γράφειν*] *δι' οὓς νῦν ἀθηναίους τολμᾷ γράφειν* **g** | *τολμᾷ* codd., corr. Sch. ‖ 556 *ψηφίσματα* – 557 *στρατείαν* om. **gL** ‖ 558 l. om. **VLf** | *γὰρ*] *γράφεται* **L** | ⟨*τοὺς*⟩ *πολίτας* **V**

186 *Θεμίσωνος*] *Θεμίσων ἦν Ἐρετριέων τῶν ἐν Εὐβοίᾳ τύραννος. οὗτος* 560
Ἀθηναίων ἐχόντων Ὠρωπὸν καὶ εἰρήνης οὔσης καὶ σπονδῶν παρὰ τὰς
συνθήκας καταλαμβάνει τὸν Ὠρωπόν. Ἀθηναῖοι δὲ ἐπιστρατεύσαντες
ἐπολιόρκουν αὐτὸν ὄντα ἐν Ὠρωπῷ. εἶτα ὕστερον συνέβησαν ἀμφότε-
ροι καὶ αὐτοὶ καὶ ὁ τύραννος, ὥστε παρακαταθέσθαι Θηβαίοις τὸν
Ὠρωπόν, ἕως ἂν περὶ αὐτοῦ διακριθῶσι. Θηβαῖοι δ' ἐπὶ τούτοις λα- 565
βόντες τὴν παρακαταθήκην ἀμφοτέρους ἀπεστέρησαν. ἐγένετο δὲ
ταῦτα ἐπὶ ἄρχοντος Ἀθήνησι Πολυζήλου. ἔστι δὲ Ὠρωπὸς πόλις κει-
μένη ἐν τῇ ἠπείρῳ ἐν μεθορίοις τῆς Βοιωτίας καὶ τῆς Ἀττικῆς.
gVxLS

187 ⟨*ἐν πέντε ἡμέραις*⟩] *Δημοσθένης* (22, 14) '*τρισὶν*' *ἔφη*. V 570

188 ⟨*αὐτοῖς*⟩] *τοῖς Εὐβοεῦσιν*. Vf

189 *κύριοι τῆς Εὐβοίας*] *Ἀθηναῖοι στρατεύσαντες εἰς Εὔβοιαν ἐνίκησάν*
τε αὐτοὺς καὶ ἐκβαλόντες ἐκ τῆς νήσου ἠλευθέρωσαν τὴν Εὔ-
βοιαν. gVxLS

in or. 3, 86 **190** *Πλουτάρχῳ*] *ὁ Πλούταρχος ἦν Ἐρετριέων τύραννος. τούτῳ Κλείτ-* 575
αρχος φυγὰς ὢν ἐξ Ἐρετρίας ἐπολέμει καὶ λαβὼν παρὰ Φαλαίκου
τοῦ Φωκέων τυράννου δύναμιν ἐστράτευσεν ἐπὶ τὸν Πλούταρχον. τῷ
δὲ Πλουτάρχῳ Ἀθηναῖοι ἐβοήθησαν Φωκίωνος στρατηγοῦντος καὶ γι-
γνομένης ἐν Ταμύναις μάχης ἐνίκων Ἀθηναῖοι Ἐρετριεῖς. gVxLS

191a *Ταμύνας*] *Ταμῦναι πόλις τῆς Εὐβοίας. Κοτύλαιον δὲ ὄρος ἐν Εὐ-* 580
βοίᾳ. gVxLS **191b** *χωρίον Εὐβοίας.* f

192 ⟨*ὑπερεβάλλομεν*⟩] *ἀντὶ τοῦ* '*παρηρχόμεθα*'. VSf

193 *Καλλίας ὁ Χαλκιδεὺς*] *οὗτός ἐστιν ὁ Καλλίας ὁ ποιήσας τὴν Εὔ-*

560 D. S. 15,76,1; D. 18,99; schol. D. 18,99,176; X. Hell. 7,4,1; schol. Aeschin. 2,164,358 ‖ 575 Plu. Phoc. 12,13; Paus. 1,36,4; schol. D. 5,5,21 | *Κλείταρχος*] G. Cawkwell, The Defence of Olynthus, CQ n.s. 12, 1962, 129 sq.; P.A. Brunt, Euboea in the time of Philip II, CQ n.s. 19, 1969, 289 sq. ‖ 580 *Ταμύναι*] Harp. s.v.; S. τ 66; Ph. s.v.; Et. Gen.; E. M. 745,24; schol. Aeschin. 2,165,378 | *Κοτύλαιον*] Steph. Byz. 379,11; Harp. s.v.; S. κ 2165 ‖ 583 Din. 1,44; FGrHist 328 F 159 (= Did. in D. 9,57)

560 l. om. **g** | *Θεμίσων*] *οὗτος* **gxL** | *ἦν* om. **x** | *τῶν* om. **gL** | *οὗτος*] *ὃς* **gx** ‖ 561 *ἐχούσης* **L** | *περὶ* **g** ‖ 563 *ὄντα* om. **VS** | *εἶτα* del. Sch. | *ὕστερον* om. **V** | *ἀνέβησαν* **gxLS**, corr. Sch. *ὑπερανέβησαν* **V** ‖ 565 *ἂν* om. **xS** | *θηβαίοις* **VLS** | *λάμποντες* **VL** ‖ 567 *ἐπὶ* om. **VLS** ‖ 570 l. addidi ‖ 571 l. addidi ex posit. in **V** *ἀπέδοτε B* ‖ 572 l. del. Sch. qui 3,85,186 et 189 ut unum schol. praeb.; 3,86 *πλουτάρχῳ* $\mathbf{g}^{\Sigma}$ ‖ 573 *τε* om. **x** | *ἐκβάλλον-τες* **V** ‖ 575 l. om. **gS** | ⟨*ἄλλως.*⟩ *ὁ* **g** ‖ 576 *ὢν* om. **g** | *φυλαίκου* **L** ‖ 580 l. om. **g** *μνείας* $\mathbf{V}^{ac}$ *μνύνας* $\mathbf{V}^{pc}$ | *ταμύνη* **gVxL** | *τῆς* om. **S** | *δὲ* om. **x** | *ἐν Εὐβοίᾳ*] *τῆς εὐβοίας* **gxL** *ἐν βοιωτίᾳ* **S** ‖ 582 l. add. Di. *παρήλθομεν* Bk. ‖ 583 l. om. **f**

βοιαν γενέσθαι πάλιν ὑπὸ Ἀθηναίους μετὰ τὸ ἐξελαθῆναι ἐξ αὐτῆς τῆς
585 *Εὐβοίας τοὺς περὶ τὸν Φιλιστίδην καὶ Κλείταρχον ἐν τῷ χρόνῳ τοῦ δεκάτου λόγου τῶν Φιλιππικῶν. διὸ καὶ κακῶς αὐτοῦ μέμνηται ὁ Αἰσχίνης.* gVxLSf

194 *προσγελῶν*] *οἷον προσεταιριζόμενος, ὃν τρόπον φαμὲν 'προσσαίνων'.* gVxLS — in or. 3, 87

590 **195** ⟨*τοὺς Φωκικοὺς ξένους διαβιβάσας*⟩] *οἱονεὶ συναγαγών τινας Φωκέων τῶν ἔτι σῳζομένων καὶ τυραννήσας τῆς Εὐβοίας· τοῦτο δὲ ἔξωθεν ἔλαβε πρὸς διαβολήν. 'διαβιβάσας' δὲ οὐ λέγει τοὺς Φωκέας, ἀλλὰ τὸ στρατόπεδον ὃ συνήγειρεν.* gVxLSf

196 *οἱ ἱππεῖς ἄνδρες*] *ἐπίτηδες αὐτοὺς ἐγκωμιάζει, ὅτι καὶ αὐτὸς μετ'* — in or. 3, 88
595 *αὐτῶν ἐστρατεύσατο.* gVxLS

197 ⟨*ἐκ παρατάξεως*⟩] *ἀντὶ τοῦ 'φανερῶς καὶ οὐ λάθρα'.* f

198 *συνέδριον*] *ἵνα δῆθεν εἰς ἓν συνέρχηται ἡ πᾶσα Εὔβοια καὶ ὑπακούῃ τοῖς Ἀθηναίοις.* VxLSf — in or. 3, 89

199 ⟨*ἐφ' ὑμᾶς*⟩] *ἀντὶ τοῦ 'καθ' ὑμῶν'.* f

600 **200** *ὑπέβαλλεν ἑαυτὸν φέρων Θηβαίοις*] *ἀντὶ τοῦ 'τοὺς Θηβαίους ἐκολάκευεν'.* VxLS — in or. 3, 90

201a *τροπὰς τοῦ Εὐρίπου*] *θέλει δὲ ὥσπερ διὰ τούτου δηλῶσαι ὅτι ἐμιμήσατο διὰ τοῦ τρόπου τὸ εὐμετάβλητον τοῦ Εὐρίπου, ὡς πλησίον αὐτοῦ οἰκῶν. ἔστι δὲ τὸ κῶλον χαριεντισμός. ἐπαινοῦσι δὲ τοῦτο τὸ*
605 *κῶλον οἱ κριτικοί, λέγοντες σωφρόνως αὐτὸ πεφράσθαι καὶ οὐ κούφως.* VxLSf **201b** *ἄλλως· ὥσπερ πᾶς τόπος* [*καὶ*] *αὐχενοειδὴς ἰσθμὸς καλεῖται, εἴτ' ἐν θαλάττῃ εἴτ' ἐν γῇ ὑπάρχει, καλεῖται δὲ καὶ ὀνομαστικῶς ὁ ἐν Κορίνθῳ τῆς γῆς Ἰσθμός, οὕτω πᾶσα θάλαττα στενὴ εὔριπος, ὀνομαστικῶς δὲ ἡ παρὰ τῇ Εὐβοίᾳ αὐτῇ θάλαττα κα-*

599 Poll. 6,195; schol. Hom. *Π* 27, *Τ* 93 b; schol. D. 24,157,314; schol. Th. 1,116,1; schol. Aeschin. 1,173,351. 3,58,128 || 604 *ἔστι* – 606 *κούφως* = D. H. De Aeschin. fr. 3 U.-R. || 606 Mela 2,108; Liv. 28,6,10; Plin. Nat. 2,219

584 *πάλιν*] *πόλιν* **VLS** *ο* vel *α* in ras. **x** | *ἐξελαθῆναι* **VL** *ἐξελθεῖν* **gS** || 586 *λόγου* om. **g** | *αὐτὴν* **gL** *αὐτῶν* **xS** sine term. **V** | *ὁ* om. **VxS** || 588 *οἱονεὶ* Sch. | *προσαινῶν* **gxL** *προσ*(fen.)*αιρων* **S** || 590 l. add. Bk. *καὶ συνεγείρας* codd. || 591 *καὶ τυραννῆσαι* **VxLS** *προστυραννῆσαι* **f** *πρὸς τὸ τυραννῆσαι* Di. *κατατυραννῆσαι* Bk. | *τοὺς Εὐβοέας* Bk. || 594 l. *οἱ στρατιῶται* – *ἐγένοντο* Sch. | *οἱ ἱππεῖς* om. **g**[Σ] || 596 l. add. Bk. || 597 l. om. **f** *συνάγων* Bk. | *συνέρχηται*] *συνεργεῖται* **xL** | *ἐπακούσῃ* **f** || 599 l. add. Bk. || 600 l. om. **L** *ὑπέβαλλεν* Sch. | *τοὺς* om. **VS** || 602 l. om. **f** *πλείους τραπόμενος* **S** | *διὰ* om. **V** || 603 *τρόπου* Bk. *τόπου* codd. || 604 *τὸ*[1] om. **VxL** | *κῶλον* om. **x** || 605 *οἱ κριτικοί* om. **x** | *αὐτὸ πεφράσθαι*] *ἀποπεφράσθαι* **VxLS** || 606 del. Sch. || 608 *πᾶσα*] *ταῦτα* **L** || 609 *στενὴ* scripsi ex Suda *εὐρεῖα* codd. | *αὐτῇ* om. **x**

λεῖται Εὔριπος. οὗτος δὲ ἑπτάκις τῆς ἡμέρας στρέφεται, καθάπερ ἄλ- 610
λοι τε πολλοὶ καὶ Διονύσιος ὁ Χαλκιδεὺς (FHG 4, 395 fr. 8) *εἴρηκε.*
καλοῦσι δὲ παροιμιακῶς τοὺς τάχιστα μεταβαλλομένους τὴν γνώμην
'εὐρίπους'. 'παρ' ὃν ᾤκει' δὲ εἶπεν, ἐπειδὴ Εὐβοεὺς ὁ Καλλίας. ὁ δὲ
Εὔριπος ὁτὲ μὲν ἐπὶ τάδε ῥεῖ, ὁτὲ δὲ ἐξ ἐπιστροφῆς ἐπὶ τάδε καὶ πά-
σχει τοῦτο τῆς ἡμέρας ἑπτάκις. ἄλλως· ἡ Εὔβοια νῆσος κατά τινα τό- 615
πον τῇ Βοιωτίᾳ ἔγγιστα κεῖται σφόδρα, ὥστε στενότατον εἶναι τὸν με-
ταξὺ διάπλουν. ὁ τόπος οὗτος καλεῖται Εὔριπος, ἐφ' οὗ δὴ κεῖσθαι δο-
κεῖ ἡ Χαλκίς. λέγεται δὲ ὁ Εὔριπος οὗτος μέγαν ἔχειν ῥοῦν καὶ πολ-
λὰς τρέπεσθαι τροπὰς μεταβάλλοντος ἀεὶ τοῦ ῥοῦ. λέγεται γοῦν τῆς
ἡμέρας ἑπτάκις τρέπεσθαι καὶ τῆς νυκτὸς ἑπτάκις. xL 620

202 *εἰς μέσον πίπτει] οὕτω λέγει ἐπὶ τῶν ἑκατέρωθεν μισουμένων, ὅτι*
μεταξὺ τῆς ἔχθρας τοῦδε καὶ τοῦδε εἰσίν. VxL

in or. 3, 91 **203** *τὸν δολιχοδρομήσαντα] εἶδός ἐστι δρόμου ὁ δόλιχος, ὡς ἐκ τῶν*
Πινδαρικῶν ἔστι μαθεῖν, ἴσως ἓν στάδιον ἐκτεταμένον εἰς τὸ δρα-
μεῖν. VxLSf 625

204 *οὐδὲν γὰρ] ἡ σύνταξις τοῦ κώλου ἐν ὑπερβατῷ οὕτως· οὐδὲν γὰρ*
ἦν ἐν μέσῳ, ἀλλ' ὑπῆρχεν αὐτῷ ἢ φεύγειν ἢ τεθνάναι, εἰ μνησθεὶς ὁ
δῆμος τῶν ἀδικημάτων αὐτοῦ μὴ προσδέξοιτο τὴν συμμαχίαν. VxLSf

205 *ἐπ' αὐτὸν ἐπεστράτευον] ἀντὶ τοῦ 'ἐπεστράτευον αὐτῷ'.* VxL

in or. 3, 92 **206** *ἔγραψε δ' ἐν] ἡ πᾶσα διάνοια τοιαύτη ἐστίν· ἔγραψε, φησί, βοη-* 630
θεῖν ἡμᾶς τοῖς Χαλκιδεῦσιν. εἶτα ἵνα μὴ δόξῃ ἄτοπον λέγειν τὸ μόνον
ἡμᾶς ἐκείνοις βοηθεῖν, μὴ μέντοι καὶ αὐτοὺς ἡμῖν, προσέθηκε δῆθεν
εὐφημίας χάριν, ὥστε καὶ αὐτοὺς βοηθεῖν ἡμῖν κινδυνεύουσι, καὶ ἀντι-
κατηλλάξατο ῥῆμα ἔργῳ. VxLSf

207 *ῥῆμα] ῥήματα λέγουσι καὶ τοὺς ὅλους λόγους· τὸ γὰρ καὶ Χαλ-* 635
κιδέας βοηθεῖν Ἀθηναίοις ὅλον οὐκ ἔστι ῥῆμα, ἀλλὰ παρὰ τὴν ῥῆσιν
τὸ ὅλον ῥῆμά φησιν. εὐφημίας δ' ἕνεκα τὸν Δημοσθένην προσθεῖναί
φησιν τῷ ψηφίσματι, Χαλκιδέας βοηθεῖν, ἄν τις ἴῃ ἐπ' Ἀθηναίους,

610 *ἑπτάκις]* Str.9,2,8; Cic. N.D.3,10; Liv.28,6,10; An. Ox.2,200,3; E. M.395,27; S. *ε* 3696 || **612** *παροιμιακῶς]* cf. Pl. Phd. 90 c; Poll. 6,121; Ba. 98,8; Hes. *ε* 7116; Diogenian.4,72 || **623** cf. Poll.3,146; S. *δ* 1339 || **624** *Πινδαρικῶν]* cf. fr. Dith. 70 d 18 Maehler

610 *δὲ* om. **x** || **616** *στενότατος* **L**, corr. Sch. sine term. **x** || **621** *λέγουσι* **xL** || **622** *τοῦδε*[1]] *τούτου* **V** || **623** l. om. **f** | *εἶδός ἐστι* om. **x** | *ἐστι* om. **VLS** || **624** *εἰς τὸ* om. **VxSf** || **626** l. om. **Sf** | *κώλου] λόγου* **L** || **627** *ἐν μέσῳ] τὸ μέσον* Aeschin. | *εἰ μνησθεὶς* om. **V** || **629** l. om. **xL** | *ἀντὶ τοῦ* om. **x** || **630** l. om. **f** | *ἔγραψε*[2]] *ἔγρα* **L** | *φησι* om. **L** || **632** *βοηθεῖν ⟨ἡμῖν⟩* **V**[ac] | *ἡμῖν ⟨βοηθεῖν⟩* **L** | *προσέθηκε* – **633** *ἡμῖν* om. **L** | *ἀντικατήλλαξε* codd., correxi || **634** *ἔργων* **VxLS** || **638** *ψηφίσαντι* **VL** | *τί* **V** | *εἴη* **VL**

τούτῳ τῷ λόγῳ ἀντικαταλλαττόμενος τὴν πρὸς τοὺς Χαλκιδέας βοή-
640 *θειαν καὶ ἀντὶ τοῦ ἔργῳ ἐκείνοις ἐπικουρῆσαι λόγῳ γράψας 'καὶ ἐκεί-*
νους Ἀθηναίοις'. VxL

208 *αἰσχίστας πράξεις] οἷον τὸ παραχωρῆσαι τοῖς Χαλκιδεῦσι τὸ συν-* in or. 3, 93
εδρεύειν καὶ τοὺς φόρους. VxLSf

209 *τῷ λόγῳ προσβιβάζων] ἐπαναγκάζων, βιαζόμενος ἢ διδάσκων. ὅτι*
645 *ὁ διδασκόμενος προσάγεται κατανεῦσαι τῷ λεγομένῳ. φασὶ τὸ πείθειν*
προσβιβάζειν, ὁ δὲ μὴ πειθόμενος ἀφέστηκε καὶ οὐ προσελήλυθε τῷ
δόγματι. VxLS

210 *βοηθείας] ὅτι δεῖ πρῶτον ἡμᾶς βοηθεῖν, εἶτα ἀπαιτεῖν κἀκείνους*
ἡμῖν τὴν ἴσην εἰσφέρειν. VxL

650 **211** *συμμαχίας] ὁ γὰρ Αἰσχίνης ἔλεγε μὴ βοηθεῖν δεῖν, ὃς ἂν μὴ πρό-*
τερον ἡμῖν βεβοηθηκὼς ᾖ· ὁ δὲ Δημοσθένης πρὸς τὸ ἔνδοξον, ὅτι οὐ
δεῖ παραιτεῖσθαι τὸ συμμαχεῖν τοῖς μήπω συμμαχήσασιν, ἀλλὰ καὶ τῷ
εὐεργετεῖν πρωτεύειν. VxL

212 *⟨ἀνέστησαν⟩] ἀντὶ τοῦ 'μετέστησαν'.* f in or. 3, 94

655 **213** *σύνταγμα] οἱονεὶ πλῆθος χρημάτων. λέγεται δὲ καὶ ἀλλαχοῦ τὸ* in or. 3, 95
σύνταγμα καὶ ἐπὶ τοῦ τάγματος τῶν στρατιωτῶν. ὅθεν καὶ παρὰ Με-
νάνδρῳ ἀνέγνωμεν τὸ 'σύνταγμα τῆς ἀρχῆς'. τὸ δὲ λεγόμενον περὶ βι-
βλίου παρά τινων οὐ λέγεται σύνταγμα παρὰ τοῖς ἀρχαίοις, ἀλλὰ μᾶλ-
λον σύγγραμμα. VxLSf

660 **214** *τὸ σύνταγμα χρημάτων] οἷον εἰς τροφήν, εἰς ναύτας.* VxLSf in or. 3, 97

215 *εἰς τὴν πανσέληνον] οἷον ἐν λʹ ⟨ἡμέραις⟩ ἀπὸ πανσελήνου εἰς* in or. 3, 98
πανσέληνον, ἢ ἐν πανσελήνῳ ἥκειν, οἷα δήπου εἰκὸς οἰώνισμα τοῦτο
ἀγαθὸν ποιουμένων. VxLS

216 *ἀλαζονεύηται] ἀντὶ τοῦ 'ἀπατῶν ὑμᾶς διὰ τῶν πιθανῶν τούτων* in or. 3, 99
665 *λόγων ἐν τῷ καὶ ὁρίζειν τὴν ἡμέραν καὶ ἄλλα τοιαῦτα'.* VxLSf

656 *Μενάνδρῳ]* fr. 759 Koerte-Thierfelder

639 *τούτων τῶν λόγων* **V** | *τούτῳ τῷ* om. (in morsu tiniae) **x** | *χαλκιδεῖς* **VxL**, corr. Sch. || **640** *ἐκείνοις* **L** || **642** l. om. **f** | *συνέδριον* **L** || **644** *ἐπαναγκάζων] ὑπ' ἀναγκαίων* **V** || **645** *τῶν λεγομένων* **V** | *τὸ] τὰ* **V** | *πεινωθεῖν* **V** || **649** *ἡμῖν* om. **V** || **650** *ὃς] ὡς* **L** || **652** *τὸ* Sch. *τοῦ* **VxL** | *τοῖς – συμμαχήσασιν] τοῖς μὴ ὅπως συμμαχήσωσιν* **L** | *τῷ] τὸ* **L** || **654** l. add. Bk. || **655** l. om. **Sf** || **656** *σύνταγμα ⟨τῆς ἀρχῆς⟩* **V** | *μενάνδρου* **V** sine term. **x** || **657** *ἀλλ' ἔγνωμεν* **xL** || **658** *παρά] περί* **L** | *τινος* **V** | *παρὰ* – **659** *σύγγραμμα* praes. in **x** | *παρὰ – ἀρχαίοις* Sau. *τοῦδε τοῦ ἀρχαίου* **VLSf** || **660** l. om. **VxLf** *πλήρωμα* Di. | *εἰς] καὶ* Di. || **661** l. om. **S** | *εἰκὸς ⟨ὡς⟩* Sch. | *πανσλήνου* **L** || **662** *οἰωνισμοῦ* **xL** || **663** *ποιουμένῳ* **xL** || **664** l. om. **f** *κλέπτων* Bk. | *ἀπατῶν* om. (in tineae morsu) **x** | *τῶν] τὸ* **V**

217 *κλέπτων τὴν ἀκρόασιν*] *παραλογιζόμενος τὴν ἀκοήν.* VxLS

in or. 3, 100 **218** *ἀπαγαγὼν*] *οἷς εἶπε, φησί, μεγάλοις οὖσιν οὐκ εἴασεν ὑμᾶς συνείσεσθαι, ὅτι ἐπὶ μισθῷ ταῦτα ἐψεύδετο.* VxLS

219 *συστρέψας*] *ἀντὶ τοῦ 'πάλιν στραφεὶς εἰς τὰ πρῶτα'. λέγει δὲ εἰς τὰ κατὰ Καλλίαν καὶ Εὔβοιαν.* VxLS 670

220 ⟨*οἵτινες δεήσονται*⟩] *τὸ ἀκόλουθον ἦν εἰπεῖν 'ὥστε συμμαχῆσαι αὐτοὺς ἡμῖν'. ὁ δὲ ἐπάγει παρ' ὑπόνοιαν κατ' εἰρωνείαν· 'ναί, ἵνα αὐτοὺς παρακαλέσωσι μὴ φέρειν ἔτι τοὺς φόρους ἡμῖν, ἀλλὰ τῷ Καλλίᾳ'.* VxLSf

221 *Καλλίᾳ*] *οὐχ ὡς τοῦτο Δημοσθένους γράψαντος, ἀλλ' ὁ Αἰσχίνης* 675 *φησὶν ὡς τοῦτο δυναμένου τοῦ ψηφίσματος.* VxLS

in or. 3, 103 **222** *Κλειτάρχου*] *ἐπὶ ἄρχοντος Νικομάχου Φιλίππου βασιλεύοντος* ⟨*ἔτος*⟩ *εἰκοστὸν Ἀθηναῖοι στρατεύσαντες εἰς Εὔβοιαν Φωκίωνος στρατηγοῦντος τόν τε τύραννον τῶν Ἐρετριέων Κλείταρχον ἀπέκτειναν καὶ τὴν πόλιν τοῖς Ἐρετριεῦσι παρέδωκαν καὶ δημοκρατίαν κατέ-* 680 *στησαν.* VxLS

1130 **385** ⟨*φαῦλον*⟩] *μοχθηρόν.* xL

386 *τοῦ λόγου*] *μὴ ἐὰν δημοτικὸν αὐτὸν καλῇ.* xLS

387 *ἀτυχίαν*] *δυσγένειαν.* f — in or. 3, 169

388 *τὴν ἀσέλγειαν*] *τὴν ἀσωτείαν καὶ τὸ πολλὰ εἰς αἰσχρὰς ἡδονὰς καταναλίσκειν.* xLS — in or. 3, 170

1135 **389** *εὐγνώμονα καὶ δυνατὸν εἰπεῖν*] *τοῦτο Περικλῆς περὶ ἑαυτοῦ ἐν τῇ οἰκείᾳ δημηγορίᾳ* (Thuc. 2, 60, 5). xLS

390 ⟨*ὀλιγαρχικὸν*⟩] *παραλογίζεται.* xLS

391 ⟨*λογισμὸς*⟩] *οἷον ἡ ἐξέτασις.* Lf

392 ⟨*ἐκ Κεραμέων*⟩] *ἀπὸ δήμου.* xLf — in or. 3, 171

1112 Σ^b mg (Ba. 408,26) || 1113 *φορμός*] cf. Hes. *φ* 781; Bk. 315,7; Ba. 408,25; schol. Th. 2,75,2; S. *φ* 601; schol. Pl. Lys. 206 e; schol. Luc. 240,8 || 1116 (381 b) Tim. s. v. *θαῦμα*; Hes. *θ* 147; Ph. s. v. || 1128 cf. Poll. 4,34 || 1130 Poll. 4,13 || 1136 cf. schol. Th. ad loc. || 1138 Σ^b mg (Ba. 291,29); S. *λ* 648

1112 l. om. **f** | *φυρμοραφούμενα* **xL** | *ὑμῶν* **xLS** || 1113 *τοῦ* Sau. *τῆς* codd. || 1115 l. add. Bk. | *ἐπὶ* om. **L** || 1116 l. om. **f** | *οἷον* **L** || 1117 *γινόμενα* **S** || 1118 *πετομένου* **S** || 1120 *ἐπὶ*] *πρὸς* **S** || 1121 *ὅταν*] *ὅτι* **L** || 1123 l. om. **S** | *ἡ* om. **L** || 1125 *ἐστιν* Sch. *οὖσαν* **xS** *ὢν* **L** || 1127 *ἑκάστη* **xS** || 1128 *δημοτικὸν* **x** || 1129 l. add. Bk. || 1130 l. addidi || 1131 *αὐτὸν* codd., corr. Sch. | *καλεῖ* **L** || 1133 *πολλὰς* **L** sine term. **x** || 1135 l. *τέταρτον* Sch. || 1137 l. addidi || 1138 l. add. Di. | *οἷον ἡ* om. **L** || 1139 l. add. Di.

393 *Νύμφαιον*] *τόπος καὶ πόλις ἐπὶ Πόντῳ· τοῦτο Ἀθηναίων ἐχόντων* 1140
Γύλων Ἀθηναῖος προέδωκε τοῖς Βοσπόρου τυράννοις. xLS

394 *φυγάς*] *φυγὰς ἐγένετο καὶ ἔλαβε παρὰ τῶν τυράννων χωρίον ὃ ἐκαλεῖτο Κῆποι.* xLS

395 *τὴν κρίσιν*] *οἷον τὴν τιμωρίαν. ἐξῆν γὰρ φυγεῖν μετὰ τὴν πρώτην κρίσιν, εἰ καὶ θάνατός τινος κατεγνώσθη, ὡς ἔγνωμεν ἐν τῷ κατὰ* 1145
Τιμοκράτους. xLSf

in or. 3, 172 **396** ⟨*Σκύθιν*⟩] *ὡς ἀπ' εὐθείας εἴρηται τοῦτο μᾶλλον βαρυτόνου, κακῶς δέ. τὰ γὰρ τοιαῦτα ἐθνικὰ ὀξύνεσθαι θέλει, ὡς Κολχίς, Περσίς, Σκυθίς. οὐκοῦν Σκυθίδα καὶ οὐ Σκύθιν, ὡς τὸ Κολχίδα, Περσίδα· τινὰ δὲ τῶν βιβλίων ἔχει κτητικῶς Σκυθικήν.* f 1150

397 *ἐπιχώριός*] *οὐκ Ἀττικοῦ ἀνθρώπου τρόπον ἔχει οὐδὲ κακίαν Ἀττικήν, ἀλλ' ἀλλόεθνον πονηρίαν ἔχει· τοῦτ' ἔστι σφόδρα πονηρός ἐστιν ὡς μὴ Ἀττικὸς ὤν, ὡς καταδεεστέραν τῶν Ἀττικῶν πονηρίαν ἐχόντων.* xLS

in or. 3, 173 **398** *λογογράφος*] *δικολόγος, γράφων λόγους Κεραμεικούς· τὸ μέντοι* 1155
γράφειν λόγους ἐνόμιζον αἰσχρόν. διὸ οὔτε Περικλῆς οὔτ' ἄλλοι τῶν ἐπιφανῶν ἔγραψαν. xLS

399 *τοὺς λόγους ἐκφέρων*] *τὰ δικαιώματα τῶν ἀνακειμένων αὐτῷ μηνύων κρύφα τοῖς ἀντιδίκοις καὶ προδιδοὺς τὰ πράγματα.* xLS

400 ⟨*ἐπικέκλυκε*⟩] *οὕτω πολύ ἐστι. λέγει δὲ ὅπερ ἔπεμψεν αὐτῷ Δα-* 1160
ρεῖος. xLSf

401 ⟨*πονηροῦ*⟩] *ἀντὶ τοῦ 'ἀσώτου'.* f

402 *τὸ κεφάλαιον*] *οἱονεὶ τὸ μέγιστον ἀδίκημα.* xLSf

in or. 3, 176 **403a** *ἔξω τῶν περιρραντηρίων*] *ὅτι ἀπὸ τοῦ παρακολουθοῦντος τοῖς ἀτίμοις ἠθέλησε σημᾶναι, ὡς καὶ τούτους δεῖ εἶναι ἀτίμους· οἱ γὰρ* 1165
ἄτιμοι ἐξείργονται ἱερῶν, ἐκκλησίας, τοῦ δημηγορεῖν καὶ τῶν τοιούτων. περιρραντήρια δέ ἐστιν οἷον τὰ ὕδατα τὰ πρὸ τῶν ἱερῶν, ἐν οἷς περιρραίνονται οἱ μέλλοντες εἰσιέναι τοῖς ἱεροῖς πρὸ τοῦ εὔξασθαι. τὰ

1140 Harp. s. v. *Νύμφαιον*; S. *ν* 590; Ph. s. v. || **1145** cf. D. 24,149. 23,69 || **1148** Hdn. Gr. 1,106,27. 107,8 Lentz || **1155** Poll. 8,31

1140 l. om. **S** | *καὶ πόλις*] *τῆς πόλεως* Sch. | *τοῦτον* Sch. || **1141** *Γύλων*] *ύλων* L^{ac} *ιλων* L^{pc} || **1142** l. om. **S** || **1143** *ἐκαλοῦντο* **xLS**, corr. Sch. || **1144** l. om. **Sf** || **1145** *θάνατόν* **xf** || **1146** immo *Ἀριστοκράτους* (23,69) || **1147** l. add. Bk. || **1151** l. om. **S** || **1152** *ἀλλ' ἀλλόεθνον*] *ἀλλαλόεθνον* **L** || **1153** *καταδεεστέραν*] *καταδεεστέρων* **L** in **x** verbum in morsu tiniae consumptum *καὶ ἐνδεεστέραν* Sch. || **1160** l. add. Bk. *οὐδ' τοῦθ' ἱκανόν* **xLS** || **1162** l. add. Bk. || **1163** l. om. **xLf** | *οἱονεὶ* om. **x** || **1164** l. om. **f** *ὁ μὲν τοίνυν* Bk. | *ὅτι* om. **xLS** || **1168** *περιρραίνοντες* **L**

δὲ τῆς ἐκκλησίας περιρραντήρια ἦν τὰ καθάρσια τὰ ἀπὸ τοῦ περι-
1170 *στιάρχου γινόμενα.* xLSf **403b** *ἄλλως· πρὸ τῆς εἰσόδου τῆς ἀγορᾶς ἦν περιρραντήρια παρ' ἑκάτερα, τοῦτ' ἔστι λουτῆρες ὕδωρ ἔχοντες.* xL
404 *τοῖς τραγῳδοῖς] πάλιν ἀντὶ τοῦ 'τραγῳδῶν ἀγωνιζομένων'.* xLSf
405 *ἀποπλανῶ ὑμᾶς] ἀντὶ τοῦ 'πᾶσαν τὴν πόλιν'.* xLSf
406a *⟨ἐπεὶ δὲ στεφάνων⟩] ἐντεῦθεν λοιπὸν οἱ ἐπίλογοι.* S — in or. 3, 177
1175 **406b** *ἐπίλογοι.* f
406c *ἐντεῦθεν λοιπὸν ἐπιλογίζεται* a
407 *τὰς ἀφθόνους] τὰς ἁπλῶς καὶ χύδην διδομένας, ὅ ἐστι τὰς πολλάς, ὡς ἔχομεν καὶ παρ' Ἡροδότῳ* (9, 51) *καὶ ἀλλαχοῦ 'ἄφθονον ὕδωρ' ἀντὶ τοῦ 'πολύ'.* LSf
1180 **408** *⟨ἐμβαλεῖτε⟩] διότι ὁρῶσιν ἑαυτοὺς ἐξ ἴσου τοῖς πολλοῖς τιμωμένους.* xLSf
409 *τὰ καλὰ] ἀντὶ τοῦ 'οἱ στέφανοι, αἱ σιτήσεις καὶ αἱ ἄλλαι τιμαί'.* xLS — in or. 3, 178
410 *⟨ἄτοπον⟩] ἀντὶ τοῦ 'θαυμαστόν'.* L — in or. 3, 179
1185 **411** *τῶν στεφανιτῶν ἀγώνων, παγκράτιον] ἕνα λέγει τῶν τεσσάρων, ἐπειδὴ καὶ ἄλλοι εἰσὶν ἀγῶνες, ἔνθα οὐ στέφανοι παρέχονται εἰς τιμήν, ἀλλ' ἄλλα τινά, οἷον ἄργυρος, χλανίδες ἤ τι τοιοῦτον, ὡς ἔγνωμεν ἐν τοῖς Πινδαρικοῖς* (cf. O. 7, 83 sqq.). *'τῷ διαπραξαμένῳ' δὲ οἷον τῷ σπουδάσαντι ἑαυτῷ, ὥστε στεφανωθῆναι, διὰ τοῦ διαφθεῖραι χρήμασι*
1190 *τοὺς Ἑλλανοδίκας ἤ τι τοιοῦτον ποιῆσαι· τινὲς δέ φασι τῷ ἁπλῶς ἀθλεύσαντι, ἀλλὰ μὴ νικήσαντι.* xLSf
412a *παρακαταθέμενοι] οἱονεὶ ἐμπιστεύσαντες τοῖς πόνοις.* xLSf — in or. 3, 180
412b *ἐπιλαμβάνεται δὲ ὁ Διονύσιος* (De Aeschin. fr. 4 U.-R.) *ὅτι τὸ παρακαταθέσθαι φυλακῆς πλείονος ἔνδειξιν ἔχει, ἐπὶ δὲ τῶν σωμάτων*
1195 *τοὐναντίον γίγνεται· διαφθείρονται γὰρ ἔσθ' ὅτε· οὐκοῦν κακῶς ἐχρήσατο τῇ λέξει ὁ Αἰσχίνης.* xLS
413 *⟨τὰς ἐπιεικεῖς⟩] τὰς ἐχομένας ἀρετῆς.* LSf

1177 Poll. 4,20. 6,147; Ba. 171,18; Thom. 52,3; schol. E. Ph. 715, An. 732 ‖ 1184 Hes. *α* 8133; Ba. 160,17; S. *α* 4374; Ph. *α* 3104; Lex. Cant. 12,9; Et. Gen. AB s.v. *ἄτοπον*; E. M. 164,50; Thom. 36,5; schol. Pl. Resp. 405 d, Phaed. 60 b; schol. Aeschin. 1,85,186

1170 *γενόμενα* Sch. ‖ 1171 *λουτῆρος* **L** ‖ 1172 l. om. **Sf** ‖ 1173 l. om. **L** *δημοτικὸς* **xS** ‖ 1174 l. addidi ex posit. schol. in **S** ‖ 1175 l. 176 *μέμνησθε* **f** ‖ 1177 l. om. **Sf** ‖ 1180 l. add. Bk. *τοὺς δὲ χρηστοὺς* **xL** ‖ 1182 l. *καὶ σιτίσεις* **S** | *σιτίσεις* **S** ‖ 1184 l. add. Sch. ‖ 1185 *ἕνα – τεσσάρων* praeb. ut schol. cum l. 3,179 *τὰ Ὀλύμπια* Bk. ‖ 1186 *οὐ*] *οἱ* **L** ‖ 1187 *χανίδες* **x** ‖ 1189 *τοῦ*] *τὸ* **xL** ‖ 1190 *τῷ*] *τῶν* **L** ‖ 1192 l. om. **f** | *ἐμπιστεύσαντος* **xL** ‖ 1193 *ὁ* om. **xL** ‖ 1194 *φυλακῆς*] *φυλᾶν* **S** | *πλεῖον* Sch. ‖ 1195 *τὐναντίον* **S** ‖ 1197 l. add. Bk.

in or. 3, 181 **414** *Φυλῆς*] *Λακεδαιμόνιοι ἑλόντες Ἀθήνας κατέσκαψαν μὲν τὰ τείχη, κατέστησαν δὲ τυράννους αὐτόθι λ', οἳ πολλοὺς μὲν ἀκρίτους ἀπέκτειναν, πολλοὺς δὲ ἐφυγάδευσαν. πικρότερον δὲ δεσπόζοντες οὐκ ἦσαν* 1200 *ἀνεκτοὶ καὶ αὐτὸς ὁ δῆμος ἔφυγεν εἴς τινα δῆμον καλούμενον Φυλήν. τῶν δὲ ἐπιστρατευσάντων καὶ προσπολεμούντων ἠγωνίσατο καὶ Ἀρχίνου τοῦ ἐκ Κοίλης δήμου καὶ Λυσίου τοῦ Συρακοσίου καὶ μάλιστα Θρασυβούλου τοῦ Στειριέως συλλαβομένων κατῆλθεν εἰς τὸ ἄστυ καὶ ἀνεκτήσατο τὴν ἐλευθερίαν.* xLS 1205

in or. 3, 182 **415** *κἀκεῖνοί*] *καὶ τοῦτο κατ' ἐρώτησιν. εἶτα δέον εἰπεῖν 'ναί', ἐάσας τὴν ἀπόκρισιν τὴν αἰτίαν αὐτῆς ἐπήνεγκεν.* xL

416 *τῆς πόλεως ἄξιοι*] *οὐ διὰ τὸ τετιμῆσθαι ἄξιοι τῆς πόλεως, ἀλλὰ διὰ τὴν ἰδίαν ἀρετήν.* xLS

417 *οὐ γὰρ ᾤοντο δεῖν*] *ἐτίμα μὲν ὁ δῆμος αὐτοὺς ταῖς προσηκούσαις* 1210 *δωρεαῖς. ἐκεῖνοι δὲ οὐκ ἠξίουν καταλείπειν ἐν γράμμασιν, ἐν δὲ τῇ μνήμῃ τῶν τιμῶν τὴν χάριν.* xLS

in or. 3, 183 **418** *Ἑρμᾶς*] *οἷον προσωπεῖα Ἑρμοῦ καὶ κάτω ἐν τῇ βάσει ἦν τὰ ἐπιγράμματα.* xLSf

in or. 3, 184 **419** *⟨ἦν⟩*] *ἀντὶ τοῦ 'ἦσαν'.* Lf 1215

420 *ἐπ' Ἠϊόνι*] *ὀνομαστικῶς λέγεται τῆς Θρᾴκης ἡ πόλις Ἠϊών, παρ' ἣν ὁ Στρυμὼν ποταμός· Στρυμὼν δὲ ποταμὸς Θρᾴκης.* xLS

421a *λιμόν τ' αἴθωνα*] *τοῦτ' ἔστιν, ἐπάγουσι καὶ λιμὸν καὶ πόλεμον. αἴθωνα δὲ λέγει τὸν λιμόν, ἐπεὶ οἱ λιμώττοντες αἴθονται τελευτήσαντες· οἱ δὲ ὅτι ἐγένετό τις αἴθων γαστρίμαργος καὶ πάντοτε ἐλίμωττεν,* 1220 *ἀφ' οὗ ὁ λιμὸς αἴθων.* xLS

421b *ἀντὶ τοῦ 'διάπυρον καὶ μέγαν'.* Lf

422 *πρῶτοι*] *οὗτοι πρῶτοι τῶν δυσμενῶν ἀμηχανίαν ἐποίησαν· οὐχ ἡττηθέντες γάρ, ἀλλὰ κρατήσαντες ἀπέστρεψαν αὐτῶν τὰς μηχανάς.* x LS 1225

1198 X. Hell. 2,4; D. S. 1,14,31; schol. Aeschin. 3,195,439 ab ‖ **1202** cf. Plu. Mor. 350 b ‖ **1216** *Ἠϊών*] Harp. s.v.; schol. Th. 1,98,1 ‖ **1217** *Στρυμὼν*] cf. Hes. *σ* 2049; Z. 1670 ‖ **1222** S. *αι* 142; E. M. 33,18; schol. Pi. O. 11,20 b

1199 *ἀκρίτως* **xLS**, corr. Sch. ‖ **1201** *⟨εἰς⟩καλούμενον* **xL** ‖ **1204** *λειριέως* **x** *γειριέως* **L** ‖ **1205** *ἀπήνεγκεν* **x** ‖ **1208** l. *οἱ μὴ τετιμημένοι* Sch. ‖ **1209** *⟨καὶ⟩ διὰ* **L** ‖ **1210** l. *δωρεὰς* **L** ‖ **1211** *ἐν²*] *ἔτι* **L** ‖ **1213** l. om. **f** | *οἷον*] *ἀντὶ τοῦ* **L** | *καὶ – ἐπιγρ-* om. (in morsu tineae) **x** | *κάτω*] *κατὰ* **L** | *ἐν* om. **L** ‖ **1215** l. add. Bk. ‖ **1217** *Στρυμὼν δὲ*] *οὑτοσὶ* **x** ‖ **1218** l. *αἴθωνα* Sch. | *πόλεμον*] *θάνατον* **S** ‖ **1219** *λιμώσσοντες* **xS** ‖ **1222** *ἀντὶ τοῦ* et *καὶ* om. **L**[il] qui hab. *διάπυρον* et *μέγαν* ut glossas separativas in *αἴθωνα* et *καρτερόν* ‖ **1223** l. *δυσμενέων* **S**

423a *ἀμηχανίαν*] *ἀντὶ τοῦ 'τὰς μηχανὰς αὐτῶν ἔλυσαν'.* LS
423b *ἀντὶ τοῦ 'ἀμηχανίαν ἐνέβαλον τοῖς πολεμίοις.'* f
424 *⟨μᾶλλόν⟩*] *χαίρων.* f
425a *τὴν στοὰν τὴν ποικίλην*] *οὕτω λέγεται Ἀθήνησιν στοὰ ποικίλη.* in or. 3, 186
1230 *ἐν ταύτῃ πλεῖσται εἰσὶ γραφαί, ἐπιφανεστάτη δέ ἐστιν ἡ τὴν ἐν Μαραθῶνι μάχην ἔχουσα, ἐν ᾗ ἕστηκε Μιλτιάδης ἐγκελευόμενος τοῖς στρατιώταις.* **425b** *ἄλλως· τρεῖς ἦσαν Ἀθήνησι στοαί· ἡ μὲν ἐκαλεῖτο βασίλειος, ἡ δὲ τῶν Ἑρμῶν, ἡ δὲ Πεισιανάκτειος ἀπὸ Πεισιάνακτος τοῦ κτίσαντος. αὕτη δὲ γραφέντων ἐν αὐτῇ τῶν ἐν Μαραθῶνι καὶ*
1235 *ἄλλων τινῶν ποικίλη ἐκλήθη.* xLS
426a *Μητρῴῳ*] *ἐνταῦθα ἔκειτο τὰ δημόσια γράμματα.* xLS **426b** in or. 3, 187
ἔγνωμεν καὶ ἐν τοῖς Φιλιππικοῖς ὅτι μέρος τι τοῦ βουλευτηρίου ἐποίησαν οἱ Ἀθηναῖοι τὸ Μητρῷον, ὅ ἐστιν ἱερὸν τῆς Ῥέας διὰ τὴν αἰτίαν ἐκείνου τοῦ Φρυγός· συνακτέον δὲ καὶ τοῦτο πρὸς τὸ 'ἰδεῖν ἔστιν'. xL
1240 Sf **426c** *ἐν αὐτῷ τῷ ἱερῷ, ἐν ᾧ τὸ βουλευτήριόν ἐστιν, ἀνάκεινται γεγραμμένοι οἱ ἀπὸ Φυλῆς τὸν δῆμον καταγαγόντες· κεῖνται δὲ ἐν τῷ Μητρῴῳ καὶ οἱ νόμοι τῶν Ἀθηναίων.* xLS
427 *ὅσοι τὴν τάξιν*] *τοῦτο παρ' ὑπόνοιαν· δέον γὰρ τῶν τότε τι εἰπεῖν εἰς τὸν Δημοσθένην αἰνιττόμενος οὕτως ἐπήνεγκεν.* xLS
1245 **428** *εἰ τοῦτ' ἔχει*] *αὕτη ἐστιν ἡ διάλληλος δεῖξις.* xL in or. 3, 188
429a *⟨Γλαῦκον⟩*] *πύκτης διάσημος Ὀλυμπιονίκης· ἐνίκησεν οε' Ὀλυμπιάδι. ἦν δὲ τῷ σώματι μέγας καὶ ἀποθανόντος Ἱπποκράτους τοῦ Λεοντίνων τυράννου διεδέξατο τὰ πράγματα καὶ κατασταθεὶς ὑπὸ Γέλωνος ἐν Καμαρίνῃ καταψηφισαμένων αὐτοῦ Καμαριναίων θάνατον* in or. 3, 189
1250 *ἀνῃρέθη.* xLS **429b** *Γλαῦκον*] *Καρύστιος ἦν οὗτος.* xLS

1229 1105 Overbeck; Ba. 2,327,12; S. *β* 3079 ‖ **1232** cf. Harp. s.v. *βασίλειος στοά*; S. *β* 153; Harp. s.v. *Ἑρμαῖ*; S. *ε* 3029; Ph. s.v. ‖ **1236** Wycherley no. 467; D. 19,129, D. 18 arg[2] 5; cf. Harp. s.v. *Μητρῷον*; S. *μ* 1003. 1013; Ph. s.v. (= Lycurg. fr. 1 Conomis) ‖ **1238** *ἱερὸν*] cf. Poll. 3,11; S. *μ* 1003 ‖ **1246** cf. D. 18,319; Bk. 227,24. 232,24; Lex. Pat. ad D. 18,319 ‖ **1250** Harp. s.v. *Γλαῦκος*; S. *γ* 280; Ph. *γ* 127; Bk. 232,24; Paus. 6,10,1–3

1226 l. om. **L** | *ἔλυσαν*] *ᾔδεσαν* Sch. ‖ **1228** l. add. Di. ‖ **1229** l. om. **S** | *οὕτω*] *οὗτος* **x** ‖ **1230** *εἰσὶ* om. **L** ‖ **1233** *πεισιανακτίς* **xL** *πεισανακτίς* **S**, correxi (*Πεισιανάκτιος* Sch.) | *ἀπὸ* om. **L** | *ἄνακτος* **L** ‖ **1237** *καὶ* om. **xL** | *τι* om. **f** ‖ **1239** *καὶ* om. **f** ‖ **1240** ad 3,187,426c l. *ἔστιν* add. Sch. ‖ **1242** *Ἀθηναίων* om. **xL** ‖ **1244** *τὸν* om. **xS** ‖ **1245** l. om. **L** ‖ **1246** l. add. Schaefer *φιλάμμωνα* **xLS** | *ἐνίκησεν* Sch. *νενικηκὼς* **xLS** | *οε'* Schaefer *ρε'* **xS** *ἑκαστοστὴν πέμπτην* **L** *ἑκαστοτῇ πέμπτῃ* Sch. | *ὀλυμπιάδα* **xLS**, corr. Sch. ‖ **1248** *κατασταστασταθεὶς* **S** *-ατασταθε-* om. (in morsu tiniae) **x** ‖ **1249** *καταψηφισμένου* **L** | *καμαριναῖοι* **x** ‖ **1250** l. om. **L**

430 *τὴν ἀρετὴν*] *ὁ Διονύσιος* (De Aeschin. fr. 5 U.-R.) *ἐπιλαμβάνεται· 'οὐ γάρ' φησι 'νικῆσαι βουλόμεθα τὴν ἀρετὴν ὡς τοὺς ἀνταγωνιστάς'. ἠγνόηκε δὲ ὅτι ὁ ἀγὼν πρὸς τὸ ἐπαγόμενον νοεῖται. ἄνω μὲν οὖν περὶ τῆς νίκης λέγομεν αὐτοὺς ἀγωνίζεσθαι, νῦν δὲ περὶ τοῦ ἐφικέσθαι.* xLS 1255

431 *Παταικίωνος*] *οὗτος διαβέβληται ὡς ταπεινὸς καὶ οὐδενὸς ἄξιος.* xLS

in or. 3, 190 **432** *παλαίχθων*] *παλαίχθων ὑφ' ἕν, ὡς αὐτόχθων· ἐστὶ δὲ δῆμος.* xLS

in or. 3, 191 **433a** *ἔναυλον*] *οἱονεὶ πρόσφατον καὶ ἐγγύς, ἀπὸ τοῦ ἐλλὺς εἶναι καὶ ἐντὸς τῆς ἐπαύλεως τὰ πρόβατα.* xLSf **433b** *ἢ ἔνηχον, γνώριμον,* 1260 *ἔμμονον ἐν τῇ μνήμῃ.* xL

434 *γραφὴν*] *γραφὴν οὐ λέγει ἐνταῦθα τὴν κατηγορίαν, ἀλλ' αὐτὰ τὰ γράμματα τὰ τοῦ ψηφίσματος τοῦ παρανόμου. οὕτω φησίν· 'οὐχ ἧττον ἐμίσουν τοῦ πράττοντος παράνομα ἐν ἔργοις αὐτὸν τὸν γράφοντα παράνομα'.* xLSf 1265

435 *ἀνδρὸς παράνομα λέγοντος*] *ὁμοίως, φησίν, ὠργίζοντο τοῖς γράφουσι παράνομα ὡς τοῖς ποιοῦσι παράνομα.* xLS

in or. 3, 192 **436** *ἀναγιγνώσκειν τοὺς νόμους καὶ τὸ ψήφισμα*] *ἵνα ἀκούοντες τῶν νόμων καὶ τοῦ ψηφίσματος μάθοιεν, εἰ παράνομόν ἐστιν.* xLS

in or. 3, 195 **437** *⟨ἐκ Κοίλης⟩*] *ἀπὸ δήμου.* f 1270

438a *Θρασύβουλον*] *Θρασύβουλος ὁ Στειριεὺς μετὰ τὸ κατελθεῖν τὸν δῆμον ἀπὸ Φυλῆς ἔγραψε ψήφισμα δοθῆναι πολιτείαν ⟨Λυσίᾳ⟩ Κεφάλου τῷ ῥήτορι πολλὰ εὐεργετήσαντι τοὺς ⟨εἰς⟩ Φυλὴν καταφυγόντας καὶ τοῦτο ἀπροβούλευτον εἰσήνεγκεν εἰς τὸν δῆμον· οὐδέπω γὰρ ἦν καθεσταμένη ἡ βουλὴ μετὰ τὴν τῶν λ' κατάλυσιν. τοῦτο τὸ ψήφισμα* 1275 *ἐγράψατο παρανόμων Ἀρχῖνος ⟨ὁ⟩ ἐκ Κοίλης καὶ εἷλε καὶ ἐτίμησαν τῷ Θρασυβούλῳ οἱ δικασταὶ δραχμῆς μιᾶς.* xLS **438b** *ἄλλως· ἐπί-*

1256 cf. Harp. s. v. *Παταικίων* || 1260 (433 b) cf. Tim. s. v. *ἔναυλος λόγος*; Bk. 251,21; E. M. 338,1 || 1270 Hes. *κ* 3237 || 1271 Arist. Ath. 40,1 sq. 37,1; Plu. vit. X or. 835 f–836 a; D. S. 14,32,1; Plan. ad Hermog. *στάσεις* 5,343 W.; schol. Aeschin. 3,181,414; P. Oxy. 1800 frr. 4.7; A. E. Raubitschek, The Heroes of Phyle, Hesperia 10, 1941, 285–287

1252 *φησι* om. **S** | *νικῆσαι*] *οἰκῆσαι* **L** | *ὡς ⟨καὶ⟩* **xS** || 1253 *ἄνω* – 1254 *ἐφικέσθαι* om. **x** || 1254 *ἀφικέσθαι* **L** || 1258 *ἑνὸς* **x** | *ὡς αὐτό-* praes. in **x** | *ἐστὶ* – *δῆμος* om. **S** || 1259 l. om. **f** || 1262 l. om. **f** | *αὐτὰ* om. **x** || 1264 *τοὺς πράττοντας* **S**[ac] || 1266 l. *ἀνοσιώτερον* **S** || 1268 l. om. **S** *ἀναγιγνώσκειν* Sch. | *τῶν νόμων*] *τοῦ νόμου* **x** || 1270 l. add. Rei. || 1271 l. om. **S** || 1272 *ἔγραψαν* **L** | add. Wyse | *κεφάλῳ* **xLS**, corr. Wyse || 1273 *εὐεργετήσαντα* **L** term. praes. in **x** | *τοὺς*] *τὴν* **L** | add. Sch. || 1274 *εἰσήγαγεν* **x** || 1275 *ἡ* om. **xL** || 1276 add. Sch.

στευον τοῖς δοκοῦσιν ἀμύνειν τοῖς νόμοις· Ἀρχῖνος γὰρ ὁ ἐκ Κοίλης ἐγράψατο παρανόμων ὅτε καθῆλθεν ὁ δῆμος ⟨* * *⟩ *Λυσίου τοῦ Συ-*
1280 *ρακουσίου πεντακοσίας μὲν ἀσπίδας δόντος τοῖς μαχεσαμένοις ἐν Φυλῇ, τριακοσίους δὲ στρατιώτας μισθωσαμένου ἐξ Αἰγίνης, ἔγραψε ψήφισμα πολίτην αὐτὸν γενέσθαι Θρασύβουλος. παρανόμων δὲ αὐτὸν Ἀρχῖνος ὁ ἐκ Κοίλης ἐγράψατο, ὅτι οὔπω γενομένης βουλῆς τὸ ψήφισμα ἔγραψεν ὀλιγώρως πρὸ τοῦ βουλὴν ὑπάρξαι, καὶ* ⟨*οἱ*⟩ *δικα-*
1285 *σταὶ κατήνεγκαν αὐτοῦ τὰς ψήφους. ὁ δὲ ἐν τῇ τιμήσει παρελθὼν 'θανάτου' ἔφη 'τιμῶμαι, ὅτι ἀχαρίστους Ἀθηναίους ὄντας εὖ ἐποίησα'. οἱ δὲ δικασταὶ αἰδεσθέντες τῷ μὲν ἐτίμησαν τὴν καταδίκην δραχμῆς, τὸν δὲ Λυσίαν οὐδ' οὕτως ἐποιήσαντο πολίτην.* xL

439 ⟨*γράψαντά τι παρὰ τοὺς νόμους*⟩] *στεφανοῦν.* f

1290 **440** *τοῖς νόμοις*] *ὡς τοῦ κατηγόρου ὡς ἐπὶ πολὺ διὰ τὸ παρὰ τοὺς νόμους τι πράττεσθαι κατηγοροῦντος.* xLS — in or. 3, 197

441 a *τοῖς εἰς αὐτὸ τὸ πρᾶγμα λέγουσιν*] *τῷ συνηγόρῳ αὐτοῦ. ἐξῆν γὰρ καλέσαι οὓς ἂν ἐθέλοι πρὸς συνηγορίαν.* xLS **441 b** *οἱονεὶ τοῖς συνηγόροις τοῦ φεύγοντος.* xLSf

1295 **442** ⟨*λυθῇ*⟩] *ἀντὶ τοῦ 'γνωσθῇ'.* f

443 *ὅστις*] *ἵνα λέγῃ περὶ τοῦ φεύγοντος· 'τὴν ψῆφον' δὲ 'αἰτεῖ', οἷον ἵνα ψηφίσησθε καὶ αὐτῷ μᾶλλον προσθῆτε.* xLSf — in or. 3, 198

444 *παραιτεῖται*] *οἱονεὶ συγγνώμην αἰτεῖ, ὡς ἔχομεν ἐν τῷ κατὰ Μειδίου* (5) *τὴν ὁμοίαν χρῆσιν ἐν οἷς λέγει· 'τῷ δὲ φεύγοντι καὶ παραι-*
1300 *τεῖσθαι'.* Sf

445 *διενεγκεῖν*] *διακρῖναι, διαψηφίσασθαι.* xLS

446 *ἀπαντᾶν εἰς τὴν τίμησιν*] *ὅταν ἡ τίμησις γένηται, τότε τυγχάνει δεομένους καὶ παραιτουμένους μετρίως τιμῆσαι.* xLS

447 ⟨*ἀόριστον*⟩] *ἀσάφειαν.* L — in or. 3, 199

1279 *Λυσίου*] Plut. vit. X or. 835 f–836 a; Plan. ad Hermog. 5,343,11 W.; cf. P. Oxy. 1606,163–171 = Lys. fr. 1 Gernet-Bizos; Iust. 5,9,9 ‖ 1298 Bk. 289,21; Ba. 329,20. 2,371,32; S. π 504; Ph. s. v.; Thom. 274,8; Vind. π 84; schol. Th. 1,73,3; schol. A. Prom. 34; schol. Aeschin. 1,122,265. 2,19,40 a.

1279 lac. statuit Sch. ‖ 1280 *πεντακοσίας*] *διακοσίους* Plu. ‖ 1281 *τριακοσίους* Wyse *συρακουσίους* **xL** *Συρακουσίοις* Sch. | *δὲ* post *ἔγραψε* **xL**, transp. Wyse, post *στρατιώτας* Sch. ‖ 1283 *τὸ* om. **L** ‖ 1284 *ὀλιγώρως – ὑπάρξαι* post 1285 *ψήφους* **xL** transp. Sch. | add. Sch. ‖ 1289 l. add. Di. ‖ 1290 ⟨*τὸ*⟩ *πολὺ* **L** ‖ 1292 *αὐτοῦ*] *αὐτῷ* **S** ‖ 1293 *ἐθέλω* **L** *ἐθέλωσι* Sch. ‖ 1295 l. add. Bk. ‖ 1296 l. om. **f** *ψῆφον αἰτεῖ* **S** | *λέ*ʸ **Sf** ‖ 1297 *ψηφίσησθαι* **L** ‖ 1301 l. om. **S** *παραιτεῖται* **L** | *ψηφίσασθαι* **x** ‖ 1302 l. *διενεγκεῖν* **L** | *τυγχάνειν* **S** ‖ 1304 l. addidi

448 ⟨*ὡρισμένον*⟩] *προγεγραμμένον, γνώριμον.* L 1305

in or. 3, 200 **449a** ⟨*τουτὶ τὸ σανίδιον*⟩] *λελευκωμένον πινάκιον, ἐν ᾧ ἡ γραφὴ γέγραπται ἣν ἐγράψατο ὁ κατήγορος καὶ τὸ ψήφισμα τὸ κατηγορούμενον καὶ* ⟨*οἱ νόμοι*⟩. L **449b** *τουτὶ τὸ σανίδιον*] *ἐγράφετο ἡ κατηγορία καὶ τὸ ψήφισμα καὶ οἱ νόμοι, ὅτι 'κατηγορῶ τοῦ ψηφίσματος τοῦδε ὡς παρὰ τούσδε τοὺς νόμους γεγραμμένου'.* L 1310

in or. 3, 201 **450a** *τὸ συντεταγμένον αὐτῷ προοίμιον*] *ἀντὶ τοῦ 'μηδεμιᾶς ἀληθείας ἐχόμενον'. 'προοίμιον' δὲ εἶπεν, ἐπειδὴ ὁ προβαλλόμενος ἄλλον τινὰ εἰπεῖν ὑπὲρ ἑαυτοῦ ἀνάγκην εἶχεν αὐτὸς εἰπεῖν τι προοίμιον τοῦ λόγου καὶ οὕτω καλέσαι τὸν συνήγορον.* xLSf **450b** *ἄλλως· ἢ ὃ μετὰ Δημοσθένους συνέταξεν ἢ ὃ συνέθετο ἐρεῖν ἢ ὅτι 'ὦ δικασταί, ἐπειδὴ* 1315 *λέγειν οὐ δύναμαι, πρὸς τοῦτο κελεύσατέ μοι τὸν δεῖνα συνηγορεῖν'· 'συντεταγμένον' οὖν τὸ συντεθειμένον.* xL

in or. 3, 202 **451** ⟨*μὴ προσδέχεσθε*⟩] *ἔνστασις.* S

452 ⟨*ἀρετῇ*⟩] *μετριότητι.* S

453 *Κτησιφῶντος*] *μή τις, φησίν, ὡς φιλάνθρωπόν τι δοκοίη ποιεῖν* 1320 *ἐρομένου 'εἰ καλοίη', φάσκων 'κάλει'.* xL

454 *κάλει*] *τὸ δεύτερον 'κάλει' ὡς Αἰσχίνου τὸ πρῶτον ἐπιλαμβανομένου ἐτέθη, ὡσεὶ ἔλεγε 'κάλει λέγεις'. δύναται δὲ καὶ ὡς προστακτικὸν ἀναγινώσκεσθαι ὡς ἐπιτρέποντος Αἰσχίνου 'κάλει'.* xLS

in or. 3, 203 **455** ⟨*τὸν ἴδιον*⟩] *τὸν ἰδιωτικόν.* LS 1325

456 *οὐδὲν προβαλόμενον*] *ἀντὶ τοῦ 'προτάξαντα πρὸ τοῦ εἰπεῖν στεφανοῦν', ἀντὶ τοῦ 'οὐκ εἰπόντα, ἐπειδὰν τὰς εὐθύνας δῷ'.* LS

in or. 3, 204 **457** ⟨*ἐκκλησιαζόντων*⟩] *οὗτος ἐστὶ ὁ καιρός.* L

in or. 3, 205 **458a** *πάλαισμα*] *οἷον δι' οὗ βούλεται καταγωνίσασθαι ὑμᾶς.* LSf

458b *'πάλαισμα' δὲ καταγωνισμὸς καὶ ἐξαπάτη ἢ τέχνη, σχῆμα.* LS 1330

459 *ἐμβαλεῖν*] *ἐνέμεινε τῇ μεταφορᾷ τοῦ παλαίσματος.* LS

in or. 3, 206 **460a** *περὶ τῆς στάσεως*] *οἷον περὶ τοῦ στῆναι ἑκάτερος αὐτῶν σπεύδει μὴ ἔχειν τὸν ἥλιον ἀντιπρόσωπον, ἀλλὰ κατόπιν ἑαυτοῦ.* LS

1317 *συντεταγμένον*] Ba. 376,14; schol. Aeschin. 1,102,221

1305 l. add. Sch. ‖ 1306 l. add. Sch. 3,198 *ἀπαντᾶν εἰς τὴν τίμησιν* **L** | *ἐγγράψατο* **L**, corr. Sch. ‖ 1307 *κατήγορος* Sch. *κατάσκοπος* **L** ‖ 1308 add. Sch. ‖ 1311 l. *τὸ συντεταγμένον* Bk. ‖ 1312 *ὁ* om. **xLS** ‖ 1313 *ὑπὲρ – εἰπεῖν*] *αὐτὸς εἶχεν αὐτὸν εἰπεῖν* **x** | *ἀνάγκην*] *αὐτὸν* **L** ‖ 1316 *τοῦτον* **xL**, corr. Sch. ‖ 1318 l. addidi ‖ 1319 l. addidi ‖ 1322 l. om. **S** | *ἐπιλαμβάνομεν* **S** ‖ 1324 *ἐπιτρέποντος*] *ἐπειπόντος* **S** | *καλεῖν* **xLS**, corr. Sch. ‖ 1325 l. addidi ex posit. in **S** ‖ 1326 l. om. **S** | *-λλ-* **L**, correxi | *προστάξαντα* **L** ‖ 1328 l. addidi ‖ 1329 l. om. **f** ‖ 1331 l. 3,206 *ἐν τοῖς γυμνικοῖς* **S** | *τὸ* (*τῷ* **S**) *πάλαισμα* **LS**, corr. Sch. ‖ 1332 *οἱονεὶ* **S** | *περὶ*] *ἐπὶ* **L** | *σπεύδειν* **L**

460b *ἄλλως· ἐπειδὴ πολλάκις συνέβαινε τὸν ἥλιον εἶναι κατὰ τοῦ*
1335 *ἑνός, ἐφιλονείκουν ὅπως ἐν τῇ σκιᾷ ἕκαστος γένοιτο.* L
461 ⟨*περιίστασθαι*⟩] *ἀντὶ τοῦ 'ἐξίστασθαι καὶ καταφεύγειν'.* f
462 *εἰσελαύνετε*] *'εἰσελαύνετε' φησὶν ἀπὸ μεταφορᾶς τῶν ἀγωνιστῶν*
ἐκτρεπομένων ἐκτὸς τοῦ ἀγῶνος, ὡς καὶ ἐν τῷ παραπρεσβείας (1,
176) *εἶπε τοῦτο τὸ ἐπιχείρημα.* LSf
1340 **463** ⟨*βαλλαντιοτόμον*⟩] *ἀντὶ τοῦ 'λῃστήν'. ἀπὸ μεταφορᾶς* [*αὐτῶν*] *τῶν* in or. 3, 207
λῃστῶν τῶν τεμνόντων τὰ βαλάντια κάτωθεν τῶν βασταζόντων, ἵνα
ἐκπέσῃ τὰ ἐν αὐτοῖς. LSf
464 *διηριθμημένους*] *ἠναγκασμένους.* LSf
465 *τοὺς στασιαστικοὺς λόγους*] *τοὺς λεγομένους πρὸς τοὺς ἔξωθεν πε-* in or. 3, 208
1345 *ριεστηκότας τοὺς μὲν ὀλιγαρχικούς, τοὺς δὲ δημοτικούς. στασιαστικοὺς*
δὲ τοὺς στάσεως αἰτίους· λέγων γὰρ ταῦτα εἰς στάσιν ἐνέβαλε τὸν
δῆμον. LS
466a *ἑλκοποιεῖς*] *ἀντὶ τοῦ 'τραύματα ἐργάζῃ καὶ κακά'.* L **466b**
πλάττεις λόγους συγκρουστικούς. Sf
1350 **467** *τῶν αὐθημερὸν λόγων*] *οἱονεὶ τῶν ψευδῶν καὶ τῆς προσπιπτούσης*
χρείας ἕνεκεν γινομένων. LSf
468 ⟨*περιγράψατε*⟩] *ἀντὶ τοῦ 'ἐκβάλετε'.* Lf in or. 3, 209
469a *ἐξορμεῖς*] *ὡσανεὶ ἔλεγε 'σχεδὸν εἰπεῖν ἐν αὐτῷ τῷ πελάγει εἴσω*
οἰκεῖς, ἵνα εὐχερῶς φύγῃς, ὅταν χρεία σοι γένηται'. LSf **469b** *ἢ*
1355 *'ἐξορμεῖς' ἀντὶ τοῦ 'οὐ μόνον ἐν Πειραιεῖ οἰκεῖς, ἀλλ' ἐξορμᾷς τῇ δια-*
νοίᾳ πρὸς τὴν χώραν'. LS
470 *ὁ δ' ἀγὼν οὐκ ἀτίμητος*] *ψεύδεται αὐτός. μ' ταλάντων ἣν τιμήσας* in or. 3, 210
ὅτε ἐγράφετο, ἀλλ', ἵνα μὴ οἱ δικασταὶ διὰ τὸ τοσοῦτον τίμημα ἀφῶσι
τὸν Κτησιφῶντα, κλέψαι βούλεται τὸν ἀκροατήν, ἵνα ὡς ἀκινδύνου ὄν-
1360 *τος καταψηφίσωνται.* LS
471 *οὐ γὰρ δὴ μὰ τὸν Ἡρακλέα*] *ἐπεὶ ὁ Μειδίας πολεμιστὴς ἦν* in or. 3, 212
⟨* * *⟩, *ἀποτυχὼν τῶν ἀριστείων ἑαυτὸν περιεῖλε ξίφει· πρὸς τοῦτο*
οὖν παίζει. LS

1336 l. add. Bk. | *ἐνίστασθαι* **f**, corr. Sau. ‖ 1337 l. om. **f** | *εἰσελαύνετέ φησι* om. **LS** | *τῶν* del. Sch. ‖ 1338 *τοῦ* del. Sch. | lege *κατὰ Τιμάρχου* ‖ 1340 l. add. Di. ⟨*βαλαντιοτόμον*⟩ Bk. *διατετμηκότα* **LS** | ⟨*τὸν*⟩ *λῃστήν* **f** | del. Bk. ‖ 1343 l. om. **LS** ‖ 1344 l. om. **S** 3,207 *διατετμηκότα τὴν πολιτείαν* Sch. | *τὸν λέγοντα* Sch. | *λέγοντας* **S** | *παρεστηκότας* **L** *ἐπανεστηκότας* Sch. ‖ 1345 *μὲν* om. **L** ‖ 1346 *λέγω* **L** *λέγει* Sch. ‖ 1348 466b lege *λογοποιεῖς* ut l., cf. Aeschin. app. crit. ‖ 1350 l. *ὅρκων πίστιν* **LS** | *αὐθημέρων* **f**, corr. Sch. ‖ 1351 *γινομένους* **f** ‖ 1352 l. add. Bk. ‖ 1353 l. om. **f** ‖ 1355 *ἢ ἐξορμεῖς* del. Sch. ‖ 1357 *μ'*] *πεντήκοντα* D. 18,55 | *τάλαντα* **LS**, corr. Sch. ‖ 1359 *τὸν*[2] – 1360 *καταψηφίσωνται*] *τοι* **L** ‖ 1361 l. om. **S** | *γὰρ* om. **L** | *ἐπειδὴ* **S** ‖ 1362 lac. indicavi ⟨*ὃς*⟩ Sch. | *περιεῖρε* **L**

in or. 3, 214 **472** *ἰδιώτης*] '*ἰδιώτης*' *οὐ πρὸς τὴν εἴδησιν τῶν νόμων, ἀλλ' ὅτι οὐδὲν τῶν κοινῶν μετεχείρισα· οὐ δημοσίᾳ ἠδίκησα, ἀλλ' ἰδιωτεύω.* xLS 1365

in or. 3, 216 **473** *τῆς σιωπῆς*] *λέγει γάρ 'διὰ τί ἐφ' ἑκάστῳ ὧν ἔπραττον ἐν αὐτοῖς τοῖς καιροῖς οὐκ ὤφθης κατήγορος;' καὶ πάλιν* (D. 18, 198) *'γέγονέ τι τῶν ὑμῖν συμφερόντων, ἄφωνος Αἰσχίνης· ἀντέκρουσέ τι καὶ γέγονεν οἷον οὐκ ἔδει, πάρεστιν Αἰσχίνης'.* LS

474 *τόπος*] *ἀντὶ τοῦ 'ἐπιχείρημα'.* xLSf 1370

in or. 3, 217 **475** ⟨*τὸ μὲν κεφάλαιον*⟩] *ἀντὶ τοῦ 'καθολικῶς'.* f

in or. 3, 218 **476** ⟨*ἀλαζονευόμενος*⟩] *προσποιούμενος ἀληθῆ λέγειν.* xLS

in or. 3, 219 **477** ⟨*ἀπηνέχθη*⟩] *ἔστι παραγραφικὸν ἀπὸ χρόνου.* f

478 *οὔπω σοῦ*] *χαριεντισμός.* xLSf

479 ⟨*τὴν Ἥραν*⟩] *καὶ μὴν ἄνω* (77) *αὐτὴν οὐκ εἶπεν, ἀλλὰ τὸν Δία·* 1375 *μᾶλλον οὖν τοὺς τρεῖς ἔλεγεν ἑωρακέναι, καὶ ὁ Αἰσχίνης, ἵνα μὴ κατάλογον ποιῇ τῶν ὀνομάτων, ὅπερ ἦν ψυχρόν, ἄνω μὲν τὴν Ἥραν, ἐνταῦθα δὲ τὸν Δία παρέλειψεν, τὴν δ' Ἀθηνᾶν οὐδαμοῦ, ὅτι πολιοῦχος.* xL

480 *εἴ γε μὴ ταὐτὸν ἐνύπνιον*] *τοῦτο λέγει· 'πῶς ἔμελλον Ἀλεξάνδρῳ* 1380 *ἐνδείκνυσθαι, ὃς ἠγνόουν εἰ Φίλιππος; τελευτήσοι· οὐ γὰρ δὴ ταὐτὸν ἐνύπνιον ἑώρακα Δημοσθένει'.* xLS

in or. 3, 220 **481** ⟨*τὴν ἀξίωσιν*⟩] *τὸ νομίζειν ἄξιον εἶναι δεῖν ἐξ ἀνάγκης λέγειν καὶ οὕτω πολιτεύεσθαι, οἷον ὡς ἂν ἐν τυραννίδι καὶ οὐ δημοκρατίᾳ.* f

482 ⟨*ἐργαζομένου*⟩] *πολυπραγμονοῦντος.* Lf 1385

in or. 3, 222 **483** ⟨*ἁρπάγματα*⟩] *κλέμματα.* Lf

484 *πλέον τῆς πόλεως*] *οὕτω δεῖ συντάξαι· 'πλεῖον ἀφανίζων Ἀθηναίων ναυτικὸν οὗ εἶχον ὅτε τὴν ἐν Νάξῳ ναυμαχίαν Λακεδαιμονίους ἐνίκησαν'. ἐγένετο δὲ αὕτη ἐν τῷ ὑπὲρ τῶν Ἑλληνικῶν δικαίων πολέμῳ.* xL 1390

485a *Πόλλιν*] *στρατηγὸν Λακεδαιμονίων, περὶ οὗ καὶ ὁ Ἀριστείδης* (2, 232 Di.) *λέγει ἐν τῷ ὑπὲρ τῶν τεσσάρων ὅτι οὗτος ἐπώλησε τὸν*

1391 Aristid. 2,232 Di. (*Πλάτων ἐξήγετο ἐκ Σικελίας ὑπὸ Πόλλιδος*); Plu. Dio 5,6 sq.; D. L. 3,14,19

1364 l. om. **S** | ⟨*ἀκόντων*⟩ *νόμων* **x**[ac] || **1365** *ἰδιωτεύων* **x** || **1366** *ἔπραττεν* **LS**, corr. Sch. | *αὐτοῖς* om. **S** || **1367** *γέγονέ*] *πράττεται* D[t] || **1368** *συμφερόντων*] *δοκούντων συμφέρειν* D[t] || **1370** l. om. **xLf** | *ἀντὶ τοῦ* om. **x** || **1371** l. add. Bk. || **1372** l. addidi || **1373** l. add. Di. *ἐγὼ δὲ* Bk. || **1374** l. om. **LSf** || **1375** l. add. Sch. *τὴν ἀθηνᾶν* **xL** || **1380** l. om. **S** || **1381** *τελευτήσει* **x** *-σειε* Sch. || **1383** l. add. Bk. || **1385** l. add. Bk. || **1386** l. add. Bk. || **1389** *ἐνίκησεν* **L** | *ἑλλήνων δικαίῳ* **xL**, corr. Sch. || **1391** l. om. **f** | *ὁ* om. **xLS** || **1392** *λέγει* om. **xLS** | *ὅτε* Sch. | *οὕτως* **Lf** | *ἐπώλησε*] *ἐπολέμησε* **xLS**

Πλάτωνα. xLSf **485b** *κατεναυμάχησε δὲ αὐτὸν Χαβρίας περὶ Νάξον τὴν νῆσον.* LS

1395 **486** *ἐνέφραξας*] *ἀντί τοῦ 'τῷ ἀντικατηγορεῖν ἐπετείχισας σαυτὸν τοῦ μὴ δοῦναι δίκην'.* xLS — in or. 3, 223

487 ⟨*οὐ τὸ τελευταῖον*⟩] *κατ' ἐρώτησιν.* f

488 *Ἀναξίνου*] *οὗτος ἐπεδήμησεν Ἀθήνησιν διαπεμφθεὶς ὑπὸ Ὀλυμπιάδος τῆς Ἀλεξάνδρου μητρὸς ὠνήσεσθαί τινα αὐτῇ. Δημοσθένης δὲ αὐ-* 1400 *τὸν αἰτιασάμενος κατάσκοπον ἥκειν παρὰ Ἀλεξάνδρου ἠνάγκασε συλληφθῆναι· καὶ βασανιζόμενος καὶ στρεβλούμενος περὶ τοῦ πράγματος ἐκεῖνος ἐτελεύτησε.* xLS

489 *τὰ ἀγοράσματα*] *οἷον μύρα καὶ τὰ τοιαῦτα, λυσιτελοῦντα πρὸς γυναικεῖον κόσμον.* Sf

1405 **490** *τοὺς τῆς πόλεως ἅλας*] *λανθάνει ὁ Αἰσχίνης ὑπὲρ τοῦ Δημοσθένους λέγων, εἰ τῆς πατρίδος χάριν οὐκ ᾐδέσθη τοὺς ἅλας τοῦ ξένου.* xLS — in or. 3, 224

491 *ἐπιστολὰς*] *ὅτι συκοφαντῶν εἴληφεν Αἰσχίνου ἐπιστολὰς ἐπὶ προδοσίᾳ· 'σιωπῶ οὖν ἐπιστολὰς ψευδεῖς'.* xLS — in or. 3, 225

1410 **492** *κατασκόπων συλλήψεις*] *συνέλαβε γὰρ Ἀναξῖνον ὡς κατάσκοπον καὶ ἑταῖρον Αἰσχίνου.* xLS

493 *σαυτὸν δ' οὐκ ἀνερωτᾷς*] *κατ' ἀποστροφήν.* xLf — in or. 3, 226

494 *ὡς ἐγὼ πυνθάνομαι*] *ἡ σύνταξις· 'καὶ νὴ τοὺς θεοὺς μάλιστ' ἀγανακτῶ ἐφ' ᾧ νυνὶ μέλλω λέγειν ὡς ἐγὼ πυνθάνομαι Δημοσθένην λέξειν'.* 1415 *εἰ δὲ προστεθείη τῷ 'μέλλω' τὸ 'ν', ἵνα γένηται μετοχή, οὐ χρεία οὕτω συντάξαι, ἀλλὰ σαφὲς γίνεται.* xL — in or. 3, 228

495 *ἀφομοιοῖ*] *γελοῖον· κηλοῦνται γὰρ ἐπεὶ οὐκ ἂν προσεκαρτέρουν. ὡς δὲ ἐκεῖναι τὴν γλῶσσαν ἐπιφθορᾷ κέκτηνται τῶν ἀκουόντων, καὶ οὗτος τοὺς λόγους* ⟨* * *⟩ *ἐσῴζετ' ἂν ὁ λόγος.* xL

1393 X. Hell. 5,4,61; D. S. 15,34,3–5; Plu. Phoc. 6; cf. D. 20,77 || 1398 D. 18,137; Plu. Mor. 848 a (*Ἀναξίλας*)

1393 *νάξῳ* **L** || 1395 *τοῦ*[1] om. **L** | *ἀντηγορεῖν* **xLS**, corr. Sch. || 1397 l. add. Bk. *τὸ δὲ μέλλον κατεπαγγελόμενος* **f**[Σ] || 1399 *ὠνήσασθαι* **xLS**, correxi | *αὐτῇ* om. **x** | *αὐτὸν* om. **L** || 1403 l. om. **f** || 1405 l. om. **S** *τῆς τραπέζης* **x** || 1408 l. *ψευδεῖς* **x** || 1412 l. om. **Lf** | *κατ'* om. **L** | *ἀντιστροφήν* **x** *καταστροφήν* **L** || 1413 l. 3,225 *ὡς ἐγὼ πυνθάνομαι* **x** *καὶ νὴ τοὺς θεοὺς* Sch. | *ὡς*] *ὧν* Aeschin. | *καὶ* om. **x** || 1414 *ὡς*] *ὧν* Sch. ex Aeschin. || 1415 *τῷ* Sch. *τὸ* **xL** || 1418 *γλῶσσαν*] (fen.)*σαν* **L** || 1419 lac. stat. Sch. ⟨*ἐπὶ βλάβῃ τῶν ἀκουόντων λέγει*⟩ Goldschmidt | *ἐσῴζετ' – λόγος* om. **x** | *ἐσῴζετ' ἂν* Sch. (fen. 12 litt.) *ἐσῴζεσαν* **L**

496 *τῆς γὰρ αἰτίας αἰσχρὸν*] *ἡ σύνταξις· ʻαἰσχρὸν γάρ ἐστιν τὸν αἰτιώ-* 1420
μενον τῆς αἰτίας τὸ ἔργον μὴ ἔχειν ἀποδεῖξαι'. xL

in or. 3, 229 **497a** *ἐζηλωκότος*] *ἀντὶ τοῦ ʻμακαρίζοντος'· ὡς ἐπὶ τὸ πλεῖστον γὰρ τὸ*
τοῦ ζήλου εἴωθεν ἀεὶ ἐπὶ καλοῦ τάττεσθαι, τὸ δὲ τῆς ζηλοτυπίας ἐπὶ
φθόνου. ʻἀντιδίκων' δέ φησι τῶν ῥητόρων, καθὸ οἱ μὲν στρατηγοὶ τοῖς
ἔργοις κέχρηνται, οἱ δὲ ῥήτορες τοῖς λόγοις, καὶ ἀεὶ φθονοῦσιν ἀλλή- 1425
λοις ἑκάτεροι, κατὰ κοινοῦ δὲ τὴν εὐπορίαν τῶν λόγων. LSf **497b** *ἢ*
τὸ ʻἐζηλωκότος' νῦν ἀντὶ τοῦ ʻμεμφομένου'. LS

498 *ἐξ ὀνομάτων*] *οἷον ἐκ λέξεων πανούργων.* Sf

499 *οὔ τὴν γλῶτταν*] *δυνατὸν καὶ μὴ δασύνοντας τὴν ʻοὔ', ἀλλ'*
ἀρνητικῶς καὶ κατ' ἐρώτησιν ἀναγινώσκοντας τὴν περίοδον καλῶς 1430
ἀποσῴζειν τὸ νόημα. xLSf

in or. 3, 230 **500a** *θαυμάζω δὲ*] *ἐντεῦθεν οἱ ἐπίλογοι εἰργασμένοι ἐν δέκα τόποις,*
καὶ ἔστιν ὁ πρῶτος τόπος μικρὸς καὶ σύντομος, ὑπόμνησις τῶν περὶ
τὸ πρᾶγμα συνεκτικῶν καὶ τῶν περὶ τὸ πρόσωπον, παροξύνουσα τοὺς
δικαστὰς ἐν ἀναμνήσει τῶν πάλαι κηρυγμάτων. xLS **500b** *ἀντὶ τοῦ* 1435
ʻκαταγινώσκω'. f

501 *ἐπιτήδειός*] *ἀντὶ τοῦ ʻπάνυ ἀκόλαστός ἐστιν'.* xLS[2]

in or. 3, 231 **502** *μετὰ ταῦτα*] *μετὰ γὰρ τοὺς στεφάνους εἰσέφερον τὰ δρά-*
ματα. xLS

503 ⟨*δόξαις*⟩] *διανοίαις.* Lf 1440

in or. 3, 232 **504** *ὑπὸ Δημοσθένους*] *τοῦτο λέγει ὅτι ʻστεφανοῦτε Δημοσθένην δηλον-*
ότι ὡς εὖ πεπονθότες. πόθεν οὖν ἠτυχήσαμεν; ἀνάγκη ἀπὸ τῆς τύχης.'
ἀλλ' οὐχί φησιν ʻἀπὸ τῆς τύχης' ἀλλ' ʻὑπὸ Δημοσθένους'. xL

505 *τοὺς μὲν τὰς τῶν δώρων γραφὰς ἁλισκομένους*] *οἷον τοὺς νομιζο-*
μένους δωροδόκους. xLSf 1445

506 *τοὺς κυκλίους*] *τοὺς τῶν χορηγῶν, καθὸ ἐν κύκλῳ ἱστάμενοι ᾖδον*
ᾄσματα τῷ Διονύσῳ. LSf

in or. 3, 233 **507** ⟨*ἔπειτ' ἔξεισιν*⟩] *ὁ δεύτερος τόπος τῶν ἐπιλόγων εἴργασται αὐτῷ*
ἐκφοβῶν τοὺς δικαστὰς ἀσυμφόρῳ διττῷ. xLS

1422 Hes. *ζ* 141; Moer. 169; Bk. 261,9; Harp. s.v. *ζηλοτυποῦν*; S. *ζ* 63; Ph. s.v. *ζηλῶ*; Vind. *ζ* 4; Z. *ζ* 958 ‖ **1435** schol. Aeschin. 1,188,373

1420 *αἰσχρὸν*[1] Aeschin. *αἰσχροῦ* **x** *αἰσχρᾶς* **L** | *τῶν* **L** ‖ **1421** *ἐπιδεῖξαι* Aeschin. ‖ **1422** l. om. **f** ‖ **1424** *στραγηγοὶ μὲν* **L** ‖ **1426** sq. *ἢ – ἐζηλωκότος* om. **L** ‖ **1427** *νυνὶ* **S** ‖ **1428** l. om. **f** ‖ **1429** l. om. **f** *οὔ* Bk. | *δύναται* **xLS** ‖ **1430** *καὶ* om. **x** ‖ **1433** *ὁ* ⟨*μὲν*⟩ **x** ‖ **1437** l. om. **x** | *ἐστιν* om. **x** ‖ **1438** l. *ἐπεισαγόντων* **x** | *στεφάνους*] *φάνους* **L** ‖ **1440** l. add. Sch. ‖ **1441** *στεφανοῦσι* Sch. ‖ **1442** *ἀπὸ* Sch. *ὑπὸ* **xL** ‖ **1444** l. om. **f** ‖ **1446** l. om. **f** | *ᾖδον – * **1447** *Διονύσῳ* om. **L** ‖ **1448** l. add. Sch. 3,232 *κυκλίων χορῶν* **x** 3,233 *κριτὴς* **L** 3,232 *πραξαμένῳ* **S** | *τόπος*] *τρόπος* **x** ‖ **1449** *ἐκφοβοῦντα* **xLS**, corr. Sch.

1450 **508** *ὁ τοιοῦτος κριτὴς] ἀντὶ τοῦ 'ὁ δικαστὴς ὁ κρίνων τὸν Δημοσθένην ἄξιον εἶναι τοῦ στεφάνου'. καταχρηστικῶς δὲ εἶπεν ἐνταῦθα 'κριτὴν' τὸν δικαστήν. κριτὴς γὰρ ὁ κρίνων τοὺς τραγῳδοὺς καὶ τοὺς ἄλλους τοὺς ἐπὶ σκηνῆς.* xLSf

509 *ἰδιώτης] οἱονεὶ ὁ δικαστής, καθὸ ἰδιῶται καὶ πένητες ἦσαν, γενό-*
1455 *μενοι δικασταὶ διὰ τὸ τριώβολον.* xLSf

510 *ἔπειθ' ὁ μὲν ὅρκος] ὁ ὅρκος, φησί, λυπεῖ τὸν ἐπιορκήσαντα· συνειδὼς γὰρ ἑαυτῷ ὅτι ἐπιώρκησεν λυπεῖται. δι' αὐτὸν γὰρ γέγονε τὸ ἁμάρτημα, οὐ διὰ τὸν δικαστήν, ἀλλὰ διὰ τὸν ὅρκον. εἰ μὴ γὰρ προὔκειτο, οὐδὲ ἁμάρτημα ἦν.* xLS

1460 **511** *τοῖς ὀλίγοις] τοῦτο ἐστὶ τὸ παρακινδυνεύειν.* xS — in or. 3, 234

512 *ὅτι δὲ] ἀντὶ τοῦ 'καθὸ δέ'.* LSf

513 *εὐτυχοῦμεν] τοῦτ' ἔστι τὸ κατορθοῦν.* xLS

514 *τὸ δημόσιον] ἡ πόλις.* f

515 *πρὶν τὰς αἰτίας ἀκοῦσαι] καὶ πρὶν ἀκοῦσαι οὐ τοὺς τριάκοντα,* — in or. 3, 235
1465 *ἀλλὰ τοὺς ἀποθνήσκοντας. τοῦτ' ἔστιν 'οὐδὲ ᾔδεσαν διὰ τί ἀπέθνησκον'.* LS

516 *οὐχ ὑφ' ὑμῖν] κατ' ἐρώτησιν.* Sf

517a *ἡδέως δ' ἂν ἔγωγε] τρίτος τόπος τῶν ἐπιλόγων. εἴρηται δὲ κατὰ ἀπαίτησιν εὐλόγου αἰτίας, δι' ἣν στεφανωθήσεται Δημοσθέ-* — in or. 3, 236
1470 *νης.* xLS **517b** *δύο δὲ θεὶς αἰτίας τὴν μὲν πρώτην κατὰ συνδρομὴν ἔλυσε καὶ παρατροπήν, 'ἐπὶ τίσι τιμητέον τοὺς πολιτευομένους', τὴν δὲ δευτέραν κατὰ ἀναίρεσιν ἐν ἀπαιτήσει τῶν ἔργων, 'ὑπὲρ ποίων ἐπαινοῖτο Δημοσθένης'.* LS

518a *ἀναλογισαίμην] ἀντὶ τοῦ 'ἀπαριθμησαίμην'.* xLS **518b** *εἴρηται*
1475 *δὲ ἀπὸ τοῦ ἀποβαίνοντος, ἐπειδὴ ἐν τοῖς λογισμοῖς ἀπόκρισίς ἐστι καὶ πεῦσις.* LS

519 *τοῦ γὰρ ταῦτα] περιτροπὴ τὸ σχῆμα.* xLf

520 *ἀνελόντα] εἰκὸς γὰρ ἦν τάφρων ὀρυττομένων περὶ τὸ τεῖχος καὶ τάφους τυγχάνειν.* xLS

1450 l. om. **f** *ἰδιώτης* **L** | *δικαστὴς] κριτὴς* **L** *κρίνας* **f** ‖ **1452** *τοὺς* om. **Sf** ‖ **1454** l. om. **f** *ὁ μὲν ὅρκος* **L** | *γινόμενοι* **S** ‖ **1456** l. *τοῖς ὀλίγοις* **L** ‖ **1457** *ὅτι* om. **L** | *γεγονέναι* **xLS**, correxi ex Aeschin. ‖ **1461** l. om. **Lf** ‖ **1462** l. om. **LS** | *τοῦτ' ἔστι* ego *τοῦτο* **xLS** ‖ **1464** *καὶ* om. **L** | *οὐ τοὺς] αὐτοὺς* **L** ‖ **1465** *διὰ* om. **L** ‖ **1467** l. om. **f** ‖ **1470** *τὴν – συνδρομὴν* om. (in fen.) **L** ‖ **1471** *καὶ] κατὰ* Sch. | *περιτροπὴν* **L** ‖ **1472** *ποίου* **LS**, corr. Sch. ‖ **1473** *δημοσθένης ἐπαινοῖτο* **L** ‖ **1474** l. om. **x** *ὁμολογησαίμην* **L** | *ἀντὶ τοῦ* om. **x** ‖ **1477** l. om. **Lf** *εἰ μὲν γὰρ* Bk. ex positione schol. in **f** *ἡδέως δ' ἂν ἔγωγε* Sch. | *παρατροπὴ* **x** *προτροπὴ* **L** ‖ **1478** l. om. **S** | *ἦν* del. Sch.

in or. 3, 237 **521** *ἀφελὼν γὰρ τὸν καιρὸν] οὐκ ἐᾷς, φησί, τὸν δῆμον φιλοτιμεῖσθαι,* 1480
φάσκων μὴ τὴν Θηβαίων χρείαν μηδὲ τὸν ἐπικείμενον φόβον ποιῆσαι
τὴν συμμαχίαν, ἀλλὰ Δημοσθένην. xLS

in or. 3, 238 **522** *χρυσίον οὐ δώσω] Ἀθηναῖοι γὰρ αὐτὸν ᾔτησαν χρυσίον ἐπὶ Φίλιπ-*
πον μετὰ τὴν τῆς εἰρήνης κατάλυσιν πρεσβευόμενοι, ὡς καὶ Δημοσθέ-
νης ἐν τῷ ἑνδεκάτῳ Φιλιππικῶν (11, 6). xLS 1485

in or. 3, 239 **523** *τὸ μὲν τῶν Θηβαίων ὄνομα] ὅτι αἴτιον ἐγένετο τῶν ἐν Χαιρωνείᾳ*
κακῶν. LS

524 *τὰ δ' ἑβδομήκοντα] ἃ ὑφείλετο Δημοσθένης ἐκ τῶν ⟨τριακοσίων⟩*
ταλάντων, λέγων τοῖς ἀπαιτοῦσι δούλοις τοῦ Δαρείου ὅτι 'ταῦτα ἐμοὶ
ἔπεμψεν ὑπὲρ τοῦ συμβουλεῦσαι· εἰ δ' οὐκ ἐπείσθησαν οἱ Ἀθηναῖοι, 1490
οὐδὲν πρὸς ἐμέ'. LSf

525 *προλαβὼν] ἀντὶ τοῦ 'ἁρπάξας', ἀπὸ μεταφορᾶς τῶν προλαμβα-*
νόντων λῃστῶν. LSf

in or. 3, 241 **526** *ἄξιον δ' ἐστί] τέταρτος τόπος τῶν ἐπιλόγων.* xLS

in or. 3, 242 **527** *Κλεοπάτραν] Κλεοπάτραν τὴν Φιλίππου καὶ Ὀλυμπιάδος θυγα-* 1495
τέρα, Ἀλεξάνδρου δὲ ἀδελφὴν ἔγημεν Ἀλέξανδρος ὁ Νεοπτολέμου μὲν
υἱός, Ὀλυμπιάδος δὲ ἀδελφός, βασιλεὺς δὲ Μολοττῶν καὶ Ἠπειρω-
τῶν. οὗτος δὲ ⟨ἐν⟩ Πανδοσίᾳ Λευκανοῖς μαχόμενος ἐτελεύτησεν. ἀκού-
σας δὲ ὁ δῆμος ὁ τῶν Ἀθηναίων ἔπεμψε Κτησιφῶντα πρεσβευτὴν
συναχθεσόμενον Κλεοπάτρᾳ ἐπὶ τῷ τοῦ ἀνδρὸς θανάτῳ καὶ 1500
παρηγορήσοντα αὐτήν. xLS

in or. 3, 243 **528** *ἐπερώτησον] πέμπτος τόπος τῶν ἐπιλόγων παράθεσιν ἔχων τῶν εὐ-*
λόγως ποτὲ τιμηθέντων ὑπὸ τοῦ δήμου. δείκνυσι δὲ τὴν ἀτοπίαν τῆς
τιμῆς τῇ ὑπομνήσει τῶν δι' αὐτὸν ⟨εὖ⟩ πεπονθότων. xLS

529 *πυθοῦ] περισπῶσιν τοῦτο οἱ Ἀττικοί, καὶ τὸ 'λαβοῦ' καὶ 'ἐροῦ' καὶ* 1505
τὰ ὅμοια. ἔστι δὲ δεύτερος μέσος ἀόριστος. Sf

1488 Din. 1,10,8; Plu. D. 20; Iust. 11,2,7 ‖ **1492** schol. Aeschin. 1,172,345 ‖ **1495** D. S. 16,91,4 ‖ **1505** Hdn. 3,2

1481 *τὴν] τῶν* **S** ‖ **1483** *⟨ἐπὶ⟩ χρυσίον*[2] **L** ‖ **1484** sq. *πρεσβευόμενοι – φιλιππικῶν* om. **x** ‖ **1484** *πρεσβευ* **L** *πρεσβείαν ⟨πέμψαντες⟩* Sch. | *ὡς – φιλιππικῶν* om. **L** ‖ **1488** l. om. **f** | *ὑφείη* **L** | *⟨ὁ⟩ δημοσθένης* **L** | add. Sch. ‖ **1492** l. om. **S** | *ἀντὶ τοῦ* om. **f** | *ἁρπάσαι* **L** *ἁρπάσας* **S** ‖ **1494** l. om. **LS** | *τόπος] λόγος* **L** ‖ **1497** *ἀδελφός, βασιλεὺς δὲ* om. in fen. **L** (*ἀδελφὸς* **L**mg) ‖ **1498** add. Sch. | *πανδοσίαν* **LS**, corr. Sch. sine term. **x** | *Λευκανοῖς* Sch. *εὐμαίοις* **xLS** ‖ **1499** *ὁ*[2] om. **x** ‖ **1500** *συναχθησόμενον* **xLS**, corr. Sch. *συναχθεσθησόμενος* Aeschin. | *κλεοπάτραν* **xLS**, corr. Goldschmidt ‖ **1501** *παραγορήσαντα* **L** ‖ **1502** *ἀλόγως* **xL** ‖ **1504** *αὐτῶν* **xL** | add. Sch. ‖ **1505** l. om. **f** | *ἀττικοὶ τοῦτο* (*οἱ* om.) **f** | *ἐμοῦ* **f**

530a *⟨Χαβρίαν καὶ Ἰφικράτην καὶ Τιμόθεον⟩*] *οὗτοι πάντες πρεσβύτεροι Δημοσθένους.* xLS **530b** *Ἰφικράτης μὲν οὖν καὶ ἐπίσημος ἐγένετο πάνυ καὶ μόραν Λακεδαιμονίων κατέκοψε. (διῄρηται ἡ Λακε-*
1510 *δαίμων εἰς δέκα μόρας ὥσπερ εἰς δέκα φυλὰς οἱ Ἀθηναῖοι. καλοῦσι δὲ μόραν οἷον γένος ἕν.) ὁ δὲ Τιμόθεος γνώριμος μὲν Ἰσοκράτους, ἀνὴρ γενναῖος. ἐζημίωσεν δ' αὐτὸν ὁ δῆμος συκοφαντηθέντα. Χαβρίας δὲ καὶ αὐτὸς στρατηγὸς ἐπιφανής.* LS

531a *⟨ἀγνώμονα⟩*] *οἱονεὶ μὴ ἔχοντα λογισμόν, ὡς καὶ ἐν τοῖς Φιλιππι-* in or. 3, 244
1515 *κοῖς* (2, 26) '*εἶθ' οὕτως ἀγνωμόνως ἔχετε*'. f **531b** *ἄψυχα.* xL

532 *τὴν πανυστάτην ἔξοδον*] *ἢ μεθ' ἣν οὐκ ἐπεξήλθομεν διὰ τὸ πάνυ δι' αὐτὴν ἀσθενῆσαι ἢ τὴν ἐσχάτην.* LS — in or. 3, 245

533 *τὸ δὲ μέγιστον*] *ἕκτος τόπος, ἐν ᾧ ἐκφοβεῖ τοὺς δικαστὰς ὑπὲρ τῆς τῶν νέων μιμήσεως.* xLS

1520 **534** *δημόσια κηρύγματα*] *δίκαια.* f — in or. 3, 246

535 *δίκην τις δέδωκε*] *ἕβδομος τόπος φοβῶν τοὺς δικαστὰς περὶ τῆς δημοκρατίας καὶ καταφορὰν ἔχων τῶν συντεταγμένων μετὰ Δημοσθένους.* xLS

536 *⟨εἰς ἀπολογισμὸν⟩*] *ἀπολογίαν* f — in or. 3, 247

1525 **537** *τὰ κοινὰ*] *οἷον τὸ λέγειν ὅτι 'φιλόπολίς εἰμι' καὶ τὰ τοιαῦτα.* LSf — in or. 3, 248

538 *ξενικῶν στεφάνων*] *ὅτι ἐπὶ τῶν ξένων ἐν τῷ θεάτρῳ ἔμελλε στεφανοῦσθαι.* LS — in or. 3, 249

539 *ἐφ' οἷς*] *τῶν προδοτῶν ὁ νόμος θάνατον κατεγίνωσκε· σημεῖον οὖν, φησί, προδοσίας αἱ ἐπιστολαί.* LS — in or. 3, 250

1530 **540** *παρακελεύονται*] *παρακελεύονται ὡς φύλακες τῆς ⟨δημοκρατίας βλέπειν⟩ εἰς τὰ αὐτῶν πρόσωπα.* L

541 *⟨παραγεγηρακὼς⟩*] *οἱονεὶ ληρήσας.* f — in or. 3, 251

1508 X. Hell. 4,5,11–17; D. S. 14,91,2; Paus. 3,10,1; Plu. Ages. 22,3; Harp. s.v. *ξενικὸν ἐν Κορίνθῳ*; schol. Aristid. 3,274,4.6 Di. ‖ **1510** *μόρας*] Harp. s.v. *μόραν*; S. *μ* 1259; Ph. s.v. ‖ **1511** *Τιμόθεος*] cf. Isoc. 15,101–139; X. Hell. 6,2,11–13; Cic. de orat. 3,139 ‖ **1514** cf. Vind. *α* 41 ‖ **1524** Hes. *α* 6459

1507 l. addidi *ἰφικράτην* **x** 3,245 *τὴν πανυστράτην* **L** 3,243 *χαβρίᾳ* **S** ‖ **1509** *μοίραν* **LS**, corr. Sch. | *-έκοψε – Λακεδαίμων* om. (in fen.) **L** | *διῄρηται ἡ Λακεδαίμων*] *διέκρινον γὰρ τὸν δῆμον οἱ Λακεδαιμόνιοι* Sch. ‖ **1510** *μοίρας* **LS**, corr. Sch. ‖ **1511** *μοίραν* **LS**, corr. Sch. | *Ἰσοκράτει* Sch. ‖ **1512** *δ'* om. **L** ‖ **1514** l. add. Bk. ‖ **1516** l. om. **L** qui hoc schol. ut ult. partem 3,243,530b praeb. ‖ **1518** l. om. **S** | *φοβεῖ* **L** ‖ **1519** *νέων*] *θεῶν* **L** | *τιμήσεως* **L** *τιμῆς* Sch. ‖ **1521** l. *ὁ δέ γε νεώτερος* **L** | *παρὰ* **S** ‖ **1524** l. add. Di. ‖ **1525** l. *ἀπίστους* **L** *ὀνομάτων* **S** ‖ **1526** *ἐν*] *ἐπὶ* **L** ‖ **1528** l. om. **S** | *οἷς* Sch. *ὃ* **L** ‖ **1530** add. Sch. fen. praeb. **L** ‖ **1531** *αὐτῶν* **L**, corr. Sch. ‖ **1532** l. add. Bk.

542 *παρανοίας*] *ὅ ἐστι μωρίας, ἵν' ᾖ τὸ μὲν προειρημένον τοῦ γήρως, τοῦτο δὲ τοῦ τρόπου.* LSf

543a ⟨*τὰ περιόντα*⟩] *τὰ περιττὰ καὶ φαῦλα.* Sf 1535

543b *τὸ ἐκκλησιαστικὸν δὲ λέγει· ἦν δὲ ἄστατον, ὅτε μὲν ὀβολόν, ὅτε δὲ πλέον.* S

in or. 3, 252 **544** ⟨*ἐγένετό τις*⟩] *'ἐγένετό τις' ὄγδοος τόπος· ἐν ἀρχῇ μὲν ἀντεξεταστικὸς Δημοσθένους καί τινων πρὸ μικροῦ κριθέντων ὡς ἐγκαταλελοιπότων ἐν καιρῷ συμφορᾶς τὴν πόλιν, ἐφεξῆς δὲ περιέχει 'τί ποιοῦντες* 1540 *οὐ δόξουσι παραβαίνειν τὴν κοινὴν εἰρήνην;'* S

545 *ὑπερώριστ' ἂν*] *οὐ γὰρ ἐν τῇ πατρίδι οἱ προδόται ἐθάπτοντο, ἀλλ' ἐν τῇ ὑπερορίᾳ.* S

in or. 3, 253 **546** *ἀποπέμψετε*] *ἀντὶ τοῦ 'ἀποδιοπομπεῖσθε'.* S

547 *ἐπ' ὀνομάτων*] *οἷον διὰ τοῦ περιτιθέναι ἑαυτῷ φιλάνθρωπα ὀνό-* 1545 *ματα ἐπονομάζοντα ἑαυτὸν πολιτευόμενον καὶ ἐκ τούτου λῃστεύοντα· ὡσεὶ ἔλεγε 'φθείροντα τὰ ἤθη ἐπ' ὀνόματι φιλοσοφίας, ἐπονομάζοντα ἑαυτὸν φιλόσοφον καὶ ἐπὶ τοῦτο δὲ διαφθείροντα'. ἢ οὕτως 'ὡς λῃστὴν τῶν πραγμάτων παριόντα διὰ τῆς τιμωρίας τιμωρήσατε'.* Sf

in or. 3, 255 **548** *κρίνετε*] *μὴ εἰκῇ καὶ ἀκρίτως χαρίζεσθε, ὥσπερ ἐν διανομῇ ἐξ* 1550 *ἴσου πᾶσι διαιροῦντες, ἀλλὰ μετὰ κρίσεως καὶ ἐξετάσεως περιττῆς τοὺς ἀξίους φιλοτιμεῖσθε.* S

in or. 3, 256 **549** *ἀλαζονείαν*] *ἔνατος τόπος ἀναίρεσιν ἔχων τῶν δοκούντων εὖ πεπολιτεῦσθαι Δημοσθένει.* S

550a *Πειθὼ τρέφοντας*] *οἷον αὐτὴν τὴν θεὸν τὴν Πειθώ, καθὸ λέγει ὁ* 1555 *Δημοσθένης πάντας πείθεσθαι τοῖς αὐτοῦ λόγοις.* Sf **550b** *ἀντὶ τοῦ 'ὥσπερ πεπεισμένους ὡς Πειθώ τίς ἐστι καὶ συκοφάντης'.* S

in or. 3, 258 **551** *τῆς δικαιοσύνης*] *ὡς οὐ δικαίως ὁ Δημοσθένης ἐστεφανοῦτο.* S

552 *προπηλακισμῷ*] *τοῦτο προσωποποιίαν Ἀψίνης ἐν τῷ περὶ σχημάτων καλεῖ· ἡ γὰρ ἠθοποιία εἰς πρόσωπον ποιητὸν ἀναφέρεται.* 1560 S

1544 Poll. 1,33 || 1559 cf. Aps. 386,5 Spengel; Alex. Rhet. 19,21. 21,14 Spengel

1533 l. om. **LS** | ⟨*οἱονεὶ*⟩ *ὅ* **L** | ⟨*τι*⟩*μωρίας* **LS** || 1534 *τοῦτον* **L**[ac] || 1535 l. add. Di. || 1538 l. add. Sch. || 1540 *περιέχει*] *παρηγητικὸς* **e** (Marcianus gr. VIII 4) || 1544 *ἀποδιοπομπεῖσθαι* **S**, corr. **e** || 1545 l. om. **f** | *τὸ* **S** || 1546 *ἐπονομάζοντα* – 1549 *τιμωρήσατε* om. **f** || 1546 *ἐπονομάζειν* **S**, corr. Sch. | *ἑαυτὸν* Sch. *αὐτὸν* **S** | *πολιτεύεσθαι* **S**, corr. Sch. || 1548 *ἑαυτὸν* Sch. *αὐτὸν* **S** | *δὲ* ⟨*λέγων*⟩ **e** | *ὡς* – 1549 *τιμωρήσατε*] *ὡς λῃστὴν τῶν πραγμάτων, ἐπ' ὀνομάτων διὰ τῆς πολιτείας πλέοντα, τιμωρήσεσθε* Aeschin. || 1550. 1551 *ἐξ ἴσου*] *ἀξίαν* Sch. || 1551 *διαιροῦνται* **e** || 1552 *φιλοτιμεῖσθαι* **S**, corr. **e** || 1555 l. om. **f** || 1556 *αὐτοῦ* **Sf**, corr. Bk. || 1560 *ποιητὸν* Sch. *περὶ ὂν* **S**

553 *Ἄρθμιον] ἰδίως οὗτος καὶ πρόξενον εἶναι τὸν Ἄρθμιόν φησιν καὶ ἐπιδημήσαντα ἐκβεβλῆσθαι· οἱ δὲ ἄλλοι οὐκ εἶπον ⟨πρό⟩ξενον εἶναι, ἀλλ' ὅτι καὶ ἀπέκτειναν αὐτὸν Ἀθηναῖοι καὶ στηλίτην αὐτὸν καὶ γένος*
1565 *ἀνέγραψαν ἐν ἀκροπόλει, ἐγγράψαντες ἐν τῇ στήλῃ πολέμιον εἶναι τοῦ δήμου Ἀθηναίων. τὸ δὲ 'παρ' οὐδὲν' σημαίνει ἀντὶ τοῦ 'παρ' ὀλίγον', τὸ δὲ 'ἐξεκήρυξαν' 'διὰ κηρύγματος ἐξέβαλον'.* S

554 *εἰς τὴν Ἑλλάδα] Δημοσθένης* (9, 42) *'εἰς Πελοπόννησον' φησί.* S

555 *ἀναστενάξαι] τοῦτο ποιητικώτερον ἔφη· ἔδει γὰρ αὐτὸν κολάσαι* in or. 3, 259
1570 *καὶ εἰπεῖν 'σχεδὸν οὐκ οἴεσθε'.* S

556 *ἐγὼ μὲν οὖν] ὁ δέκατος τόπος διαμαρτυρίαν ἔχει, ὡς τοῦ Αἰσχίνου* in or. 3, 260 *κατὰ βούλησιν καὶ ἰσχὺν τὰ δίκαια κατηγορήσαντος.* S

1562 D. 9,41 sq. 19,271; Din. 2,24 sq.; Plu. Them. 6; Aristid. 217,34. 303,8 Di.; vide A. Chaniotis, Historie und Historiker in den griechischen Inschriften, Stuttgart 1988, D 16

1562 *ἀρίθμιον* S[a] || 1563 addidi *ἔγγονον* Sch. || 1567 *ἐξέβαλλον* Sch.

INDICES

A. INDEX AVCTORVM

B. INDEX NOMINVM

(per * glossa indicatur)

INDEX NOMINVM

C. INDEX GLOSSARVM

D. INDEX GRAMMATICVS ET RHETORICVS

E. INDEX PVBLICVS

(per * glossa indicatur)

F. INDEX VERBORVM MEMORABILIVM